Ἔργῳ καὶ λόγῳ] Subjice tacite e præmissis repetendum παθών. verum tamen veteor ne desit ἰδὼν καὶ ἀκούσας, vel πάσχων. IDEM.

Φανερὰ] Post φανερὰ deest aut ὀφθέντες, aut ἰδόντες, aut καταλαβόντες. IDEM.

Ἡ μὲν γὰρ] Scil. ἡ φανερὰ τῶν λόγων ἀκρίβεια. IDEM.

Ἡ δὲ] Ἡ ἀλήθεια puta. IDEM.

Καὶ ἀδυνατώτερον] Malim εἰ καὶ ἀδ. etiamsi minore cum facundia, rursus tamen etiam minus fraudulenter, minore cum fuco. IDEM.

Αὐτὸν τὸν προκαταγνωσθέντα] Corrigendum: αὐθέντην προσκαταγν. sed et metuo, ne insuper illum videam a vobis condemnatum tanquam sui ipsius interfectorem: conferatur accusatio in fine p. 120. et 123, 4. ed. Steph. Αὐθέντης eodem sensu legitur 123, 39. 125, 4, 6. Pag. 124, 17. respondens ad ista priora, σχετλιάσω, inquit, - - - ἀποδίδικται· in his, pro μήτε πονήσας scribendum arbitror μήτ' ἐπονήσας, sc. ἀκοντίσας: ut p. 123, 2. dixit οὔτε φύσαντα τοῦ ἀκοντίου, οὔτε ἐπονήσαντα ἀκοντίσαι. De homicida in genere semel adhibuit Antiphon de Cæd. Herod. p. 130, 31. ὁ διώκων τὴν δίκην τοῦ φονου, ἵνα μὴ ὁμεροφύλος γένηται τῷ αὐθέντῃ, ne actor cum homicida sub eodem esset tecto, sive scelerati contage pollueretur; hoc esset Euripidi, μὴ — τοῖσιν αὐθέντῃσι κοινωνῇ δόμων. Antiphontis ultima Spanhemius attigit in Callim. H. Cerer. v. 118. notatis quædam adjecit apposita I. Elsner. Obss. S. in Evang. Matt. viii. 8. *In Diatrib. in Eurip. P. D. Reliq.* c. xviii. p. 189. VALCKENAER.

Αὐθέντην] Sic dedi de meo, pro vulgari αὐτὸν τόν. v. p. 123, 39. 124, 18. 125, 4. et 5. Legi quoque possit προσκαταγνωσθέντα, præterea quoque adhuc condemnatum, non solum carendum mihi erit filio meo, sed etiam facere non potero, quominus eundem videam insuper cædis quoque voluntariæ, in semet commissæ, incusatum. REISK.

κτεῖναι φησὶ, τὸν δὲ οὔτε ψαύσαντα τοῦ ἀκοντίου οὔτε ἐπινοήσαντα ἀκοντίσαι, ἀπάσης μὲν γῆς ἁμαρτόντα, πάντων δὲ σωμάτων, διὰ τῶν ἑαυτοῦ πλευρῶν διαπῆξαι λέγει τὸ ἀκόντιον. ἐγὼ δὲ, ἑκουσίως κατηγορῶν ἀποκτεῖναι αὐτὸν, πιστότερος ἄν μοι δοκῶ εἶναι ἢ οὗτος, ὃς μήτε βαλεῖν μήτε 672
ἀποκτεῖναι φησὶ τὸ μειράκιον. ὁ μὲν γὰρ ἐν τούτῳ τῷ καιρῷ καλούμενος ὑπὸ τοῦ παιδοτρίβου, ὃς ὑπεδέχετο τοῖς ἀκοντίζουσι τὰ ἀκόντια [1] ἀναιρεῖσθαι, διὰ τὴν τοῦ βαλόντος ἀκολασίαν πολεμίῳ τῷ τούτου βέλει περιπεσὼν, οὐδὲν εἰς οὐδὲν ἁμαρτὼν, ἀθλίως ἀπέθανεν· ὁ δὲ περὶ τὸν τῆς ἀναιρέσεως καιρὸν πλημμελήσας τοῦ σκοποῦ τυχεῖν ἐκωλύθη, ἀλλ' ἄθλιον καὶ πικρὸν σκοπὸν ἐμοὶ ἀκοντίσας, ἑκὼν μὲν οὐκ ἀπέκτεινεν, [2] μᾶλλον δὲ ἑκὼν οὔτ' ἔβαλεν οὔτ' ἀπέκτεινεν, ἀκουσίως δὲ οὐχ ἧσσον ἢ ἑκουσίως ἀπέκτεινέ μου τὸν παῖδα. τὸ παράπαν δ' ἀρνούμενος μὴ ἀποκτεῖναι αὐτὸν, οὐδ' ὑπὸ τοῦ νόμου καταλαμβάνεσθαί φησιν ὃς ἀπαγορεύει μήτε δικαίως μήτε ἀδίκως ἀποκτείνειν. ἀλλὰ τίς ὁ βαλών ἐστιν; ὁ φόνος οὖν ἀνήκει εἰς τοὺς θεωμένους, ἢ εἰς τοὺς παιδαγωγούς; ὧν οὐδεὶς οὐδὲν κατηγορεῖ· οὐ γὰρ 673
ἀφανὴς ἀλλὰ καὶ λίαν φανερὸς ἔμοιγε αὐτοῦ ὁ θάνατός ἐστιν. ἐγὼ δὲ τὸν νόμον ὀρθῶς ἀγορεύειν φημὶ, τοὺς ἀποκτείναντας κολάζεσθαι. ὅ τε γὰρ ἄκων ἀποκτείνας

[1] [ἀναιρεῖται] [2] Desunt μᾶλλον - - - - ἀπέκτεινεν.

Ἁμαρτόντα, πάντων] Imo vero ἁμαρτὸν in neutro, quod redit ad insequens ἀκόντιον. jaculum, quod nusquam terrarum [h. e. in nulla parte soli] deciderit, et nullum plane corpus [neque humanum, neque bestiæ] ferierit. Erit ergo locus ita legendus: ἁπάσης μὲν γῆς ἁμαρτὸν, ἁπάντων δὲ σωμάτων. Prætuli ἁπάντων vulgari πάντων eo, quod et melius conveniret præmisso ἁπάσης, et litera a servaretur. IDEM.

Ἀποκτεῖναι] Subaudi τὸν ἀποκτείναντα. IDEM.

Αὐτὸν] Scil. τὸν ἐμὸν υἱόν. Si affirmarem ab hoc adolescente filium meum data opera confixum fuisse, magis ad assensum accommodate dicturus mihi viderer, quam hic, pater adolescentis, mihi videtur in eo dicere probabiliter, quod filium suum negat in filium meum jaculum intorsisse, eoque illum sustulisse. IDEM.

Τριβήχοτο] Videntur hujus pædotribæ hæ fuisse partes, ut tela, ad metam conjecta, aut si quæ, ultra metam evecta, usquam humi decidissent, colligeret. IDEM.

Ἀναιρεῖσθαι] Subaudi τῶν βελῶν. oblitus sui, aut errore quodam opinionis in transversum actus, in æstimando tempore, quo tela humo sublegantur. IDEM.

Ἢ ἑκουσίως] Videtur sl interponendum esse, οὐχ ἧσσον, ἢ sl ἑκουσίως, scil. ἀπέκτεινε. quod verbum tacite tam erit iterandum. non minus occidit, quam si voluntarie occidisset. IDEM.

Ἀλλὰ τίς ὁ βαλών ἐστιν] Sententia subjicit hanc dictionem: ἀλλὰ τίς ἔσται ὁ φονεὺς, sl οὐχ ὁ βαλών ἐστιν; atqui, ecquis tandem homicida erit, si is non est, qui jaculum intorsit? IDEM.

Οὐδεὶς οὐδὲν] Non damno, neque sollicitabo hanc lectionem, quæ potest esse sanissima. Suspicor tamen aut pro οὐδὲν esse sufficiendum οὐδενὸς, aut utrumque sic copulandum, ὃν οὐδεὶς οὐδενὸς οὐδὲν κατηγορεῖ. IDEM.

[1] ἀκουσίοις κακοῖς περιπεσεῖν δίκαιός ἐστιν, ὅ τε διαφθαρεὶς
οὐδὲν ἧσσον ἀκουσίως [2] ἢ ἑκουσίως βλαφθεὶς ἀδικοῖτ' ἂν
ἀτιμώρητος γενόμενος. οὐ δίκαιος δὲ ἀποφυγεῖν ἐστὶ διὰ τὴν
ἀτυχίαν τῆς ἁμαρτίας. εἰ μὲν γὰρ ὑπὸ μηδεμιᾶς ἐπιμε- 20
674 λείας τοῦ θεοῦ ἡ ἀτυχία γίνεται, ἁμάρτημα οὖσα τῷ
ἁμαρτόντι συμφορὰ δικαία γενέσθαι ἐστίν· εἰ δὲ θεία κηλὶς
τῷ δράσαντι προσπίπτει ἀσεβοῦντι, οὐ δίκαιον τὰς θείας
προσβολὰς διακωλύειν γίνεσθαι. ἔλεξαν δὲ καὶ ὡς οὐ πρέ-
πει χρηστὰ ἐπιτηδεύοντας αὐτοὺς κακῶν ἀξιοῦσθαι· ἡμεῖς
δὲ πῶς ἂν πρέποντα πάσχοιμεν, εἰ μηδὲν ὑποδεέστερα τού-
των μελετῶντες θανάτῳ ζημιούμεθα; φάσκων δὲ ἀναμάρ- 25
τητος εἶναι, καὶ ἀξιῶν τὰς συμφορὰς τῶν ἁμαρτόντων
εἶναι καὶ μὴ εἰς τοὺς ἀναμαρτήτους ἐκτρέπεσθαι, ὑπὲρ
ἡμῶν λέγει. ὅ τε γὰρ παῖς μου εἰς οὐδένα οὐδὲν ἁμαρτών,
ὑπὸ τούτου τοῦ μειρακίου ἀποθανών, ἀδικοῖτ' ἂν ἀτιμώ-
ρητος γενόμενος· ἐγώ τε τοῦδε μᾶλλον ἀναμάρτητος [3] ὢν
675 δεινὰ πείσομαι, ἃ ὁ νόμος δίδωσί μοι μὴ τυχὼν παρ'
ὑμῶν. ὡς δὲ οὐδὲ τῆς ἁμαρτίας τοῦδε τῷ ἀκουσίως ἀπο-

[1] ἀκουσίοις [2] Desunt ἢ ἑκουσίως. [3] ἂν

Ἀκουσίοις κακοῖς] Malim ἀκουσίως. IDEM.

Ἀτυχίαν] Ἀτυχία τῆς ἁμαρτίας, est, cum invitis et imprudentibus nobis error excidit, unde mala ingentia et irreparabilia exsistant, quæ feramus impatientissime. IDEM.

Ἐπιμελείας τοῦ θεοῦ] In ejusmodi eventu, a quo aliena est causa dei, ubi jus divinum non intervenit; ubi nil ejusmodi evenit, ut cum, a quo id factum profectum est, pœna divina persequi videatur. Nam si quid tale evenerit, quod puniri leges et jura divina jubeant, ibi nemo non in suspicionem defertur, voluisse deum, ut ille homo, qui id fecerit, tametsi invitus et imprudens fecerit, id faceret, quo pœna ei merita contraberetur. unde colligitur deum ejusmodi homini iratum esse, eumque punitum ire, ut alias scelerosum, etiamsi hoc imprudentiæ lapsu pœnam haud meruisset. Est ergo ἐπιμέλεια θεοῦ interventus dei, concursum eventus cum pœna gubernantis, et veluti conterquentis. IDEM.

Προσβολὰς] Pœnas. Si quem deus punitum est, impium sit iræ divinæ verberibus intercedere velle. IDEM.

Ἔλεξαν] Pater homicidæ puta, et cohors advocatorum ejus. IDEM.

Ζημιούμεθα] Malim in optat. ζημιούμεθα, ob præmissum πάσχοιμεν. IDEM.

Τοῦδε] Scil. τοῦ ἐμοῦ παιδός. an potius respicit ad homicidam? præferemus hoc, quo usus loquendi magis trahit. οὗτος et ὅδε in orationibus forensibus semper est dicentis adversarius. IDEM.

Ἃ ὁ νόμος] Talionem in corpore homicidæ exsequendam. IDEM.

Ὡς δὲ οὐδὲ τῆς ἁμαρτίας τοῦδε] Loco tertii vocabuli auctor sim, ut ὅδε legatur, et loco postremi, οὐδέ. aut saltim loco postremi legatur οὐδέ, etiamsi tertium immotum loco suo relinquamus. aut tum tamen ὅδε vel οὗτος, homicida puta, semper erit in ἀπολύεται subaudiendum. Erit tum hæc sententia: καὶ ὡς [id est ὅτι] οὗτος, ἐξ ὧν οὗτοι λέγουσιν, οὐκ ἀπολύεται τῆς ἁμαρτίας οὐδὲ διὰ τὸ ἀκουσίως ἁμαρτάνειν. quod autem ex ipsis adversæ partis argumentis necessario consequatur, ne propter ipsam quidem absentiam voluntatis et malæ fraudis ab hac cæde, adolescentem, qui eandem commisit, a culpa, et a pœna absolvi. Possit quoque sic legi: ὡς δὲ οὐδὲ [id est κατ' οὐδέν, ut sit adverbialiter positum] τῆς ἁμαρτίας οὐδὲ τοῦ — Cohæret τῆς ἁμαρτίας cum ἀπολύεται. IDEM.

κτεῖναι, ἐξ ὧν αὐτοὶ λέγουσιν, ἀπολύεται, ἀλλὰ κοινὰ ἀμφότερα ταῦτα ἀμφοῖν αὐτοῖν ἐστὶ, δηλώσω. [1] εἴπερ ὁ παῖς διὰ τὸ ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου ἐλθεῖν καὶ μὴ ἀτρέμας ἑστάναι φονεὺς αὐτὸς αὑτοῦ δίκαιος εἶναι ἐστὶν, οὐδὲ τὸ μειράκιον καθαρὸν τῆς αἰτίας ἐστὶν, ἀλλ' εἴπερ 676
τούτου μὴ ἀκοντίζοντος ἀλλ' ἀτρέμα ἑστῶτος ἀπέθανεν ὁ παῖς. ἐξ ἀμφοῖν δὲ τοῦ φόνου γενομένου, ὁ μὲν παῖς εἰς αὐτὸν ἁμαρτὼν μᾶλλον ἢ κατὰ τὴν ἁμαρτίαν ἑαυτὸν τετιμώρηται — τέθνηκε γὰρ —, ὁ δὲ συλλήπτωρ καὶ κοινωνὸς εἰς τοὺς οὐ προσήκοντας τῆς ἁμαρτίας γενόμενος πῶς δίκαιος ἀζήμιος ἀποφυγεῖν ἐστίν; Ἐκ δὲ τῆς αὐτῶν τῶν ἀπολογουμένων ἀπολογίας μετόχου τοῦ μειρακίου ὄντος τοῦ φόνου, οὐκ ἂν δικαίως οὐδὲ ὁσίως ἀπολύοιτε αὐτόν. οὔτε γὰρ ἡμεῖς, οἱ διὰ τὴν τούτων ἁμαρτίαν διαφθαρέντες, αὐθένται καταγνωσθέντες ὅσια ἀλλ' ἀνόσι' ἂν πάθοιμεν ὑφ' ὑμῶν· οὔθ' οἱ θανατώσαντες ἡμᾶς μὴ [2] εἰργόμενοι τῶν προσηκόντων εὐσεβοῖντ' ἂν ὑπὸ τῶν ἀπολυσάντων τοὺς 677
ἀνοσίους. πάσης δ' ὑπὲρ πάντων τῆς κηλῖδος εἰς ὑμᾶς ἀναφερομένης, πολλὴ εὐλάβεια ὑμῖν τούτων ποιητέα ἐστί. καταλαβόντες μὲν γὰρ αὐτὸν καὶ [3] εἴρξαντες ὧν ὁ νόμος [3] εἴργει, καθαροὶ τῶν ἐγκλημάτων ἔσεσθε· ἀπολύσαντες δὲ,

[1] εἰ γὰρ ὁ [2] εἰργόμ. [3] εἶρ.

Ἁμφότερα] Id est, καὶ ἡ ἁμαρτία error, καὶ ἡ τιμωρία erroris pœna. Colligit sic: si uterque erravit, uterque puniendus est. (vel si mavis sic: si alter errore lapsorum punitus est, alter quoque puniendus est.) Sed alter jam punitus est, filius meus puta. Ergo alter quoque, filius adversarii, puniendus est. Si nempe sumimus erratum ab utraque parte pariter fuisse. IDEM.

Ἀλλὰ] Subaudi a communi τότε καθαρὸν ἔσται τῆς αἰτίας. sed tum demum vacabit culpa. IDEM.

Εἰς τοὺς οὐ προσήκοντας] Cohæret hoc cum τῆς ἁμαρτίας. ἁμαρτία εἰς τοὺς οὐ προσήκοντας, est peccatum in eos, εἰς οὓς οὐ προσῆκεν ἁμαρτάνειν. quos peccato lædere haud convenit. ut si filius ipse sese confodiens patrem baculo senii privet, et profundo luctu demergat. IDEM.

Τῶν προσηκόντων] Scil. εἴργεσθαι. ad verbum: non interdicti interdici-consuentibus, h. e. οἷς εἰργόμενοι τούτων τῶν πάντων, ὧν [vel ἅπερ] τοὺς τοιούτους εἴργεσθαι προσῆκεν. v. paulo post, ub ilegitur εἴρξαντες, ὧν ὁ νόμος εἴργει. IDEM.

Εὐσεβοῖντ' ἄν] Subaudi ὀρθῶς καὶ δικαίως. neque recto et æquo convenienter fiat, si, qui nos morte affecissent, non modo ab iis locis haud arcentur, unde impuros arceri par est, sed et pro piis et sanctis habeantur, eaque reverentia excipiantur et tractentur, qua pios et sanctos excipi jus et fas est. Pro ἀπολυσάντων malim ἀπολεσάντων: si id probes, subaudi ἄν. Dicere vult, si satis perspicio sententiam caliginosissimam: judices, a quibus morti condemnati fuerimus, si non rursus ipsi quoque urbe expellantur, religioni haud satis fiat a civibus, qui, nisi falso judicio decepti fuissent, imperos perdidissent. IDEM.

Πάσης δ' ὑπὲρ πάντων τῆς κηλῖδος] In vos solos relabente piaculo, quod alias, si jus recte dixissetis, in cives universos incubiturum fuisset. ὑπὲρ h. l. est pro, loco. quo minus cives universi ferant, vos soli feretis. IDEM.

Τούτων] Id est, τῶν φονικῶν δικῶν. IDEM.

ὑπαίτιοι καθίστασθε. τῆς οὖν ὑμετέρας εὐσεβείας ἕνεκα καὶ τῶν νόμων ἀπάγοντες τιμωρεῖσθε αὐτὸν, αὐτοί τε μὴ μεταλάβητε τῆς τούτου μιαρίας, ἡμῖν [1]τε τοῖς γονεῦσιν, οἳ ζῶντες κατορωρύγμεθα ὑπ' αὐτοῦ, δόξῃ γοῦν ἐλαφροτέραν τὴν συμφορὰν καταστήσατε. 124. 1

δ. ΕΞΑΠΟΛΟΓΙΑΣ ΟΥΣΤΕΡΟΣ. 5

678 ΤΟΥΤΟΝ μὲν εἰκὸς πρὸς τὴν ἑαυτοῦ κατηγορίαν προσέχοντα τὸν νοῦν μὴ μαθεῖν τὴν ἀπολογίαν μου· ὑμᾶς δὲ χρὴ γινώσκειν, ὅτι ἡμεῖς μὲν οἱ ἀντίδικοι κατ' εὔνοιαν κρίνοντες τὸ πρᾶγμα εἰκότως δίκαια ἑκάτεροι αὐτοὺς οἰόμεθα λέγειν, ὑμᾶς δὲ ὁσίως ὁρᾶν προσήκει τὰ πραχθέντα. ἐκ τῶν λεγομένων γὰρ ἡ ἀλήθεια σκεπτέα αὐτῶν ἐστίν. ἐγὼ δὲ, εἰ μέν τι ψεῦδος εἴρηκα, ὁμολογῶ καὶ τὰ ὀρθῶς εἰρημένα προσδιαβάλλειν ἄδικα εἶναι· εἰ δὲ ἀληθῆ μὲν, λεπτὰ δὲ καὶ ἀκριβῆ, οὐκ ἐγὼ ὁ λέγων ἀλλ' ὁ πράξας τὴν ἀπέ- 679 χθειαν αὐτῶν δίκαιος φέρεσθαί ἐστι. Θέλω δὲ ὑμᾶς πρῶτον μαθεῖν, ὅτι οὐκ ἐάν τις φάσκῃ ἀποκτεῖναι, τοῦτ' ἔστιν, ἀλλ' ἐάν τις [2]ἐλεγχθῇ. οὗτος δὲ ὁμολογῶν τὸ ἔργον ὡς ἡμεῖς λέγομεν γενέσθαι, ὑπὲρ τοῦ ἀποκτείναντος ἀμφισβητεῖ, ὃν ἀδύνατον ἀλλαχόθεν ἢ ἐκ τῶν πραχθέντων δηλοῦσθαι. σχετλιάζει δὲ κακῶς ἀκούειν φάσκων τὸν παῖδα, εἰ μήτε

[1] τε] δὲ

[2] ἐλεγχθῇ

Ἀπάγοντες] Non ad locum supplicii, sed μέχρι τῆς ἐφορίας, usque ad confinia ditionis Atticæ. mittite eum in exsilium. IDEM.

Μεταλάβητε] Bene habet, indicans futurum tempus: certo eveniat, ut vos scelus ejus haud participetis. IDEM.

δ. Κατ' εὔνοιαν] Ob caritatem cujusque sui, vel, ut vulgo loquuntur, amorem proprium, τὴν ἑκάστου πρὸς ἑαυτὸν εὔνοιαν, cum quisque se magis, quam alium quemque amat, necessarios suos aliorum necessariis, causamque suam causæ alienæ præfert. IDEM.

Αὐτοὺς] Id est, ἡμᾶς αὐτοὺς, nosmetipsos. asperum suffeci leni, qui h. l. in vulgatis obtinet. uterque nostrum prout consentaneum est fieri, se æqua, et æquiora etiam, quam adversarium, dicere autumat. IDEM.

Τὴν ἀπέχθειαν αὐτῶν] Odiositatem, vel Latinius ut dicam, invidiam horum vocabulorum, λεπτὰς puta et ἀκριβῆς. quæ in hujusmodi causa et in hisce personis, h. e. in hoc accusatore, et in hoc reo, parum absunt a convicio. qui me coegit tam subtiliter et argute disputare, is dignus est, qui horum vocabulorum invidiam sufferat, ut nempe disputator subtilis et callidus audiat, h. e. calumniator. IDEM.

Τις φάσκῃ] Subaudi, vel interpone potius τινά. siquis aliquem aiat occidisse alium quempiam. Nam alias e vulgata exsistat facile hæc sententia, quæ est absurda, si quis semet aiat cædem patrasse. quamquam, ut verum fatear, hæc ipsa quoque stulta sententia ex illa ipsa nostra emendatione, si quis cavillari velit, extorqueatur. Bona mens ergo in hujusmodi ambiguis sua cuique monitrix et gubernatrix esse debet. IDEM.

Τοῦτ' ἔστιν] Id est, ὁ ἐγκαλούμενος φησὶν εἶναι, οὐκ εὐθέως διὰ τὸ ἐγκλημα αὐτὸ γίνεται τοῦτο, ὃ ἐγκαλεῖται, homicida puta. IDEM.

Σχετλιάζει δὲ] Subaudi εἰκῆ, frustra,

ἀκοντίσας μήτ' ἐπινοήσας αὐθέντης ὢν ἀποδέδεικται, καὶ
οὐ πρὸς τὰ λεγόμενα ἀπολογεῖται. οὐ γὰρ ἀκοντίσαι οὐδὲ
20 βαλεῖν αὐτόν φημι τὸν παῖδα, ἀλλ' ὑπὸ τὴν πληγὴν τοῦ 680
ἀκοντίου ὑπελθόντα οὐχ ὑπὸ τοῦ μειρακίου ἀλλ' ὑφ' ἑαυ-
τοῦ διαφθαρῆναι· οὐ γὰρ ἀτρεμίζων ἀπέθανε. τῆς δὲ δια-
δρομῆς αἰτίας ταύτης γινομένης, εἰ μὲν ὑπὸ τοῦ παιδοτρίβου
καλούμενος διέτρεχεν, ὁ παιδοτρίβης ἂν ἀποκτείνας αὐτὸν
εἴη· εἰ δ' ὑφ' ἑαυτοῦ πεισθεὶς ὑπῆλθεν, αὐτὸς ὑφ' ἑαυτοῦ
διέφθαρται. θέλω δὲ μὴ πρότερον ἐπ' ἄλλον λόγον ὁρμῆσαι,
25 ἢ τὸ ἔργον ἔτι φανερώτερον καταστῆσαι, ὁποτέρου αὐτῶν
ἐστί. τὸ μὲν μειράκιον οὐδενὸς μᾶλλον τῶν συμμελετώντων
ἐστὶ τοῦ σκοποῦ ἁμαρτὸν, οὐδὲ τῶν ἐπικαλουμένων τι διὰ
τὴν αὐτοῦ ἁμαρτίαν δέδρακεν· ὁ δὲ παῖς, οὐ ταὐτὰ τοῖς συν-
θεωμένοις δρῶν, ἀλλ' εἰς τὴν ὁδὸν τοῦ ἀκοντίου ὑπελθὼν,
σαφῶς δηλοῦται παρὰ τὴν αὐτοῦ ἁμαρτίαν περισσοτέροις
ἀτυχήμασι τῶν ἀτρεμιζόντων περιπεσών. ὁ μὲν γὰρ ἀφεὶς
30 οὐδὲν ἂν ἥμαρτε, μηδενὸς ὑπὸ τὸ βέλος ὑπελθόντος· αὐτὸς
δ' οὐκ ἂν ἐβλήθη μετὰ τῶν θεωμένων ἑστώς. ὡς δ' οὐδενὸς 681
μᾶλλον τῶν συνακοντιζόντων μέτοχος ἐστι τοῦ φόνου, δι-
δάξω. εἰ γὰρ διὰ τὸ τοῦτον ἀκοντίζειν ὁ παῖς ἀπέθανε,
πάντες ἂν οἱ συμμελετῶντες συμπράκτορες εἶησαν τῆς
αἰτίας· οὗτοι γὰρ οὐ διὰ τὸ μὴ ἀκοντίζειν οὐκ ἔβαλον αὐ-
τὸν, ἀλλὰ διὰ τὸ μηδένα ὑπὸ τὸ ἀκόντιον ὑπελθεῖν· ὁ δὲ
35 νεανίσκος οὐδὲν περισσὸν τούτων ἁμαρτὼν ὁμοίως τούτοις

sine causa. IDEM.

Μήτ' ἐπινοήσας] Scil. ἀκοντίζειν. sic dedi de meo, pro vulgari μήτε πανύσας. v. p. 123, 3. IDEM.

Οὐ γὰρ] Alius dixisset οὐδὲ γὰρ οὐδ' αὐτὸς οὕτ' ἀκοντίσαι, οὔτε βαλεῖν — nam ne ego ipse quidem aio ipsum puerum jaculum intorsisse, aut quemquam feriisse. IDEM.

Αἰτίας ταύτης] Aut invertendus est horum vocabulorum ordo, ut sententia sit, hic discursus in causa, vel culpa, cum fuerit: aut manente illo verborum ordine, conveniat utique αὐτῷ melius, quam ταύτης. Pro ταύτης possit quoque τούτων vel τούτου legi, vel potius: τῆς δὲ διαδρομῆς αἰτία ταύτης τίς φαίνεται γενομένη; ecquam autem hujus discursus causam constat fuisse? IDEM.

Ἀγωνιστείνας] Malim cum articulo ὁ ἀγωνιστείνας. IDEM.

Καταστῆσαι] Mollius foret καταστήσαιμι. IDEM.

Τὸ μὲν] Planior utique foret oratio, si aut γὰρ aut οὖν additum esset. IDEM.

Τι] Sic in neutro, et enclitice, sine accentu exarandum curavi, quod in vulgatis circumfertur τις. neque per errorem suum commisit eorum quioquam, quorum insimulatur. IDEM.

Αὐτὸς δὲ] Scil. ὁ παῖς ὁ τραθείς. IDEM.

Μέτοχός ἐστι] Scil. ὁ ἀκοντίσας. IDEM.

Οὗτοι γὰρ οὐ διὰ] Sic dedi de meo, pro vulgari lectione, a qua οὐ abest. hi enim non ideo puerum non ferierunt, quod jaculari omiserunt, vel a jaculando se abstinuerunt. IDEM.

Μηδένα] Imo vero μηδενί: nam accusativus cum ὑπελθεῖν copulandus jam praecessit, αὐτὸν puta. sed ideo, quod hic puer eorum nemini sub teli conjectum venit. IDEM.

Νεανίσκος] h. l. semel appellatur, qui

οὐκ ἂν ἔβαλεν αὐτὸν ἀτρέμα σὺν τοῖς θεωμένοις ἑστῶτα.
682 ἔστι δὲ οὐδὲ τὸ [1] ἁμάρτημα τοῦ παιδὸς μόνον, ἀλλὰ καὶ ἡ ἀφυλαξία. ὁ μὲν γὰρ οὐδένα ὁρῶν διατρέχοντα πῶς ἂν ἐφυλάξατο μηδένα βαλεῖν; ὁ δ' ἰδὼν τοὺς ἀκοντίζοντας εὐπετῶς ἂν ἐφυλάξατο μηδένα μὴ βαλεῖν· ἐξῆν γὰρ αὐτῷ ἀτρέμας ἑστάναι. τὸν δὲ νόμον, ὃν παραφέρουσιν, ἐπαινεῖν δεῖ. ὀρθῶς γὰρ καὶ δικαίως τοὺς ἀκουσίως ἀποκτείναντας ἀκουσίοις παθήμασι κολάζει. τὸ μὲν οὖν μειράκιον ἀναμάρτητον ὂν οὐκ ἂν δικαίως ὑπὲρ τοῦ ἁμαρτόντος κολάζοιτο· ἱκανὸν γὰρ αὐτῷ ἐστὶ τὰς αὐτοῦ ἁμαρτίας φέρειν· ὁ δὲ παῖς ταῖς αὐτοῦ ἁμαρτίαις διαφθαρεὶς ἅμα ἥμαρτέ τε καὶ ὑφ' ἑαυτοῦ ἐκολάσθη. κεκολασμένου δὲ τοῦ ἀποκτείναντος,
683 οὐκ ἀτιμώρητος [2] ὁ φόνος ἐστὶν, ἔχοντός γε τὴν δίκην τοῦ φονέως. Οὐκ ἐὰν οὖν ἀπολύσητε ἡμᾶς, ἀλλ' ἐὰν καταλά- 125.1
βητε, ἐνθύμιον ὑπολείψεσθε. ὁ μὲν γὰρ αὐτὸς τὰς αὐτοῦ ἁμαρτίας φέρων οὐδενὶ οὐδὲν προστρόπαιον καταλείψει· ὁ δὲ καθαρὸς τῆς αἰτίας, [3][ὃς] ἐὰν διαφθαρῇ, τοῖς καταλαμβάνουσι μεῖζον τὸ ἐνθύμιον γενήσεται. εἰ δὲ αὐθέντης ἐκ τῶν λεγομένων ἐπιδείκνυται, οὐχ ἡμεῖς αὐτῷ οἱ λέγοντες αἴτιοι ἐσμὲν, ἀλλ' ἡ πρᾶξις τῶν ἔργων. ὀρθῶς δὲ τῶν ἐλέγ- 5
χων ἐλεγχόντων τὸν παῖδα αὐθέντην ὄντα, ὁ νόμος ἀπολύων ἡμᾶς τῆς αἰτίας τὸν ἀποκτείναντα καταλαμβάνει.
684 μήτε οὖν ἡμᾶς εἰς μὴ προσηκούσας συμφορὰς ἐμβάλητε,

[1] ἁμάρτημα τοῦτο τοῦ [2] Desunt ὁ φόνος. [3] Absunt unci.

antehac semper voc. μειράκιον fuit designatus. filius accusati puta, cui homicidium a patre peremti pueri imputabatur. IDEM.

Ὁρῶν et ἐφυλάξατο] Filius meus puta. IDEM.

Ἐφυλάξατο μηδένα βαλεῖν] Aut accipiendum h. l. μηδένα pro τινά. qui cavere poterat, ne quem feriret? aut sic, quasi dixisset: ἐφυλάξατο ὅπως μηδένα βάλῃ, vel ὅστε μηδένα βαλεῖν. IDEM.

Μηδένα μὴ βαλεῖν] Subaudi ἑαυτόν: cavisset hoc, ut ne quis se feriret. IDEM.

Κολάζειν] Π. ὀρθῶν γὰρ καὶ δίκαιον τ. ἀ. ἀ. π. κολάζειν, ἢ, ὀρθῶς γὰρ καὶ δικαίως - - - - - κολάζει. H. STEPHAN.

Τὰς αἰτοῦ ἁμαρτίας] Si quas alias culpas veras et notarias filius meus sibi contraxerit. nam hac quidem in causa extra culpam est. REISK.

Ἔχοντος] Videri possit ὑπέχοντος: nam homicida ὑπέχει τὴν δίκην, et occisus ἔχει. verum bene habet vulgata, ideo, quod in hac causa idem homo una et ὁ φονεὺς est et ὁ φονευθείς. quatenus est homicida sui, ὑπέχει praestat satisfactionem, quatenus autem est occisus, hactenus ἔχει, habet, abstulit eam. IDEM.

Ἐνθύμιον] Scrupulum conscientiæ vestræ injecerit, unde dubitatio hæc necessario exsistat, et incurrens subinde in animos vestros, vos excruciet; quid si hunc a nobis morte mulctatum, iniquitate hujus nostræ sententiæ læserimus, et sanguinem innocentem effuderimus? IDEM.

Ὃς] Equidem abesse malim. Sin autem servetur, tum ad ὁ δὲ καθαρὸς τῆς αἰτίας subaudiendum erit προστρόπαιον καταλείψει. Insons piaculum vobis relinquet inhærens, quod donec expietur, ira deorum vos manebit, pœnæque omne genus vos exagitabunt. IDEM.

μήτε αὐτοὶ ταῖς τούτων ἀτυχίαις ζοηθοῦντες ἐναντία τοῦ δαίμονος γνῶτε, ἀλλ', ὥςπερ ὅσιον καὶ δίκαιον, μεμνημένοι τοῦ πάθους, ὅτι διὰ τὸν ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου ὑπελθόντα ἐγένετο, ἀπολύετε ἡμᾶς· οὐ γὰρ αἴτιοι τοῦ φόνου ἐσμέν.

Αὐτοὶ] h. l. accipio pro αὖ. neque rursus. opponuntur enim inter se ἡμᾶς et τούτων. IDEM.

Δαίμονος] Nam Fors [ὁ δαίμων] hos voluit miseros esse. repugnare autem voluntati numinis impium sit. IDEM.

ΑΝΤΙΦΩΝΤΟΣ

ΤΕΤΡΑΛΟΓΙΑ Γ.

α. ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ ΚΑΤΑ ΤΟΥ ΛΕΓΟΝΤΟΣ ΑΜΥΝΑΣΘΑΙ.
β. ΑΠΟΛΟΓΙΑ ΦΟΝΟΥ ΟΝ ΩΣ ΑΜΥΝΟΜΕΝΟΣ ΑΠΕΚΤΕΙΝΕΝ.
γ. ΕΚΚΑΤΗΓΟΡΙΑΣ Ο ΥΣΤΕΡΟΣ.
δ. ΕΞΑΠΟΛΟΓΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

α. ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ [1]ΚΑΤΑ ΤΟΥ ΛΕΓΟΝΤΟΣ [2]ΑΜΥΝΑΣΘΑΙ.

ΥΠΟΘΕΣΙΣ.

ΝΕΟΣ καὶ πρεσβύτης ἐκ λοιδορίας συμπεσόντες ἀλλήλοις ἐμάχοντο, ἰσχυρότερον δὲ τοῦ νέου πλήξαντος τίθνηκεν ὁ πρεσβύτης· καὶ περὶ τούτου κατηγορεῖ τις τοῦ νέου, ὡς τὸν φόνον ἐκουσιώτατον. ὁ δὲ πρῶτον τὸν πρεσβύτην ἀδίκως ἄρξαι λέγει χειρῶν. ὅθεν ἀντίκλημα ἡ στάσις γίνεται.

ΝΕΝΟΜΙΣΤΑΙ μὲν ὀρθῶς τὰς φονικὰς δίκας περὶ
685 πλείστου τοὺς κρίνοντας ποιεῖσθαι διώκειν τε καὶ μαρτυ- 20
ρεῖν κατὰ τὸ δίκαιον, μήτε τοὺς ἐνόχους ἀφιέντας μήτε
τοὺς καθαροὺς εἰς ἀγῶνα καθιστάντας. ὅ τε γὰρ θεὸς,
βουλόμενος ποιῆσαι τὸ ἀνθρώπινον γένος, τοὺς πρῶτον
γενομένους ἔφυσεν ἡμῶν, τροφέας [3]τε παρέδωκε τὴν γῆν
καὶ τὴν θάλασσαν, ἵνα μὴ σπάνει τῶν ἀναγκαίων προ- 25
αποθνήσκοιμεν τῆς γηραιοῦ τελευτῆς. ὅστις οὖν τούτων

[1] ΠΕΡΙ [2] ΑΜΥΝΕΣΘΑΙ [3] τε καὶ παρέδωκε

Τοὺς κρίνοντας] Haud me fugit Græcosque Latinosque suctores verba solere mirificum in modum trajicere, quod ego equidem ingens et fœdum vitium esse arbitror, nulloque modo excusabile; hic tamen num ita collocarit Antipho vocabula hoc ordine, ut vulgo in libris jacent, dubito. Quicquid ejus est, perspicuitati et mori loquendi naturæque rerum conveniens hic est ordo, quem demonstrabo: τοὺς κρίνοντας τὰς φονικὰς δίκας περὶ πλείστου ποιεῖσθαι. IDEM.

Διώκειν τε] Subaudi τοὺς διώκοντας: et sic quoque ad μαρτυρεῖν subaudi τοὺς μαρτυροῦντας. IDEM.

ὑπὸ τοῦ θεοῦ ἀξιωθεὶς τοῦ βίου ἡμῶν ἀνόμως τινὰ
ἀποκτείνει, ἀσεβεῖ μὲν περὶ τοὺς θεούς, συγχεῖ δὲ τὰ 686
νόμιμα τῶν ἀνθρώπων. ἃ τε γὰρ ἀποθανὼν, στερόμε-
νος ὧν ὁ θεὸς ἔδωκεν αὐτῷ, εἰκότως θεοῦ τιμωρίαν ὑπο-
λείπει τὴν τῶν ἀλιτηρίων δυσμένειαν, ἣν οἱ περὶ τὸ δί-
καιον κρίνοντες ἢ μαρτυροῦντες, συνασεβοῦντες τῷ ταῦτα
δρῶντι, οὐ προσῆκον μίασμα εἰς τοὺς ἰδίους οἴκους εἰσάγον-
ται· ἡμεῖς τε οἱ τιμωροὶ τῶν διεφθαρμένων, εἰ δι' ἄλλην τινὰ
ἔχθραν τοὺς ἀναιτίους διώκοιμεν, τῷ μὲν ἀποθανόντι οὐ τι-
μωροῦντες δεινοὺς ἀλιτηρίους ἕξομεν τοὺς τῶν ἀποθανόντων
προστροπαίους, τοὺς δὲ καθαροὺς ἀδίκως ἀποκτείνοντες
ἔνοχοι τοῦ φόνου τοῖς ἐπιτιμίοις ἐσμὲν, ὑμᾶς τε ἄνομα δρᾶν
πείθοντες καὶ τοῦ ὑμετέρου ἁμαρτήματος ὑπαίτιοι γιγνό-
μεθα. ἐγὼ μὲν οὖν δεδιὼς ταῦτα, εἰς ὑμᾶς παράγων τὸν
ἀσεβήσαντα, καθαρὸς τῶν ἐγκλημάτων εἰμί· ὑμεῖς δὲ ἀξίως
τῶν προειρημένων τῇ κρίσει προσέχοντες τὸν νοῦν, ἀξίαν
δίκην τοῦ πάθους τῷ εἰργασμένῳ ἐπιθέντες, ἅπασαν τὴν 687
πόλιν καθαρὰν τοῦ μιάσματος καταστήσετε. εἰ μὲν γὰρ
ἄκων ἀπέκτεινε τὸν ἄνδρα, ἄξιος ἂν ἦν συγγνώμης τυχεῖν
τινός· ὕβρει δὲ καὶ ἀκολασίᾳ παροινῶν εἰς ἄνδρα πρέσβυ-
την, τύπτων τε καὶ πνίγων ἕως τῆς ψυχῆς ἀπεστέρησεν
αὐτὸν, ὡς μὲν ἀποκτείνας τοῦ φόνου τοῖς ἐπιτιμίοις ἔνοχός
ἐστιν, ὡς δὲ συγχέων ἅπαντα τῶν γεραιοτέρων τὰ νόμιμα

Ἀποκτείνει] Imo vero ἀποστερεῖ. quicunque igitur, his tantis bonis dignus a diis habitus, iisque ornatus cum esset, tamen tam immemor beneficiorum acceptorum est, ut nostrum aliquem contra jus et fas vita privet. Siquis pro ἀξιωθεὶς malit ἀξιωθέντα nostrum aliquem vita privet, quamvis dii dignum eum habuissent, qui his muneribus suis frueretur, haud repugnabo. Paret interim, ex utraque lectione sententiam satis commodam existere. Si ἀποκτείνει servatur, tum ad τοῦ βίου addendum erit ἀποστερῶν. IDEM.

Θεὸς] Malim ἑαυτῷ. ille sibimet ipsi reliquam [h. e. fata sua suprema manentem vel consecuturam] facit poenam: quam illa poena sit, statim subjicit τὴν τῶν ἀλιτηρίων δυσμένειαν. Sed vel sic quoque τιμωρὸν adjective melius quaderet, *ultricem*, *adjutricem*. vel etiam legi possit εἰκότως τῷ αὐθέντῃ τιμωρὸν ὑπολείπει. relinquit homicidae impositorum metuendam saevitiem deorum ultorum, sceleris sui castigatricem. IDEM.

Ἧν] Non habet quo referatur: paret quidem referri ad δυσμένειαν vel τιμωρίαν. verum quodnam erit praedicatum huic ἧν subjectum? Ales εἰσάγονται esse. Recte vero. Atqui tum pendebit οὐ προσῆκον μίασμα, lababit constructio. Penes me dubium non est, post ἧν deesse κινοῦντες, vel παροξύνοντες, vel tale quid. quam saevitiem numinum furialium irritantes et iniqui judices, et falsi testes, eo quod idem scelus patrant, atque ipsi homicidae, ipsi suas in domos inducunt piaculum, quo vacare et poterant et debebant. Debebat etiam accusatores his annumerare. Verum de his seorsim in continenti subjicit. IDEM.

Ταῦτα δρῶντι] Id est, ἀποκτείνοντι. IDEM.

Οὐ προσῆκον] Piaculum proprie, et primitus ad ipsos nil pertinens, utpote ipsorum manibus non contractum, sed alienis. IDEM.

οὐδενὸς ἁμαρτεῖν, οἷς οἱ τοιοῦτοι κολάζονται, δίκαιός ἐστιν. ὁ μὲν τοίνυν νόμος ὀρθῶς ὑμῖν τιμωρεῖσθαι παραδίδωσιν αὐτόν· τῶν δὲ μαρτύρων ἀκηκόατε, οἳ παρῆσαν παροινοῦντι αὐτῷ. ὑμᾶς δὲ χρὴ τήν τε ἀνομίαν τοῦ παθήματος ἀμύνοντας, τήν τε ὕβριν κολάζοντας ἀξίως τοῦ πάθους, τὴν βουλεύσασαν ψυχὴν ἀνταφελέσθαι αὐτόν.

β. ΑΠΟΛΟΓΙΑ ΦΟΝΟΥ ΟΝ ΩΣ ΑΜΥΝΟΜΕΝΟΣ ΑΠΕΚΤΕΙΝΕΝ.

ΥΠΟΘΕΣΙΣ.

Η ΣΤΑΣΙΣ μετάστασις· μεταφέρει γὰρ ἐπὶ τὸν θεραπεύσαντα ἰατρὸν τὸν φόνον. τὸ γὰρ ἀντεγκληματικὸν ὡς παρεπόμενον ἔλαβεν.

---

688 ΟΤΙ μὲν βραχεῖς τοὺς λόγους ἐποιήσαντο, οὐ θαυμάζω 126.1
αὐτῶν· οὐ γὰρ ὡς μὴ πάθωσιν ὁ κίνδυνος αὐτοῖς ἐστιν,
ἀλλ' ὡς ἐμὲ μὴ δικαίως δι' ἔχθραν διαφθείρωσιν· ὅτι δ'
ἐξισοῦν τοῖς μεγίστοις ἐγκλήμασιν ἤθελον τὸ πρᾶγμα, οὗ
ὁ ἀποθανὼν αὐτῷ αἴτιος καὶ μᾶλλον ἢ ἐγὼ ἐγένετο, εἰκό-
τως ἂν ἀγανακτεῖν μοι δοκῶ. ἄρχων γὰρ χειρῶν ἀδίκων,
καὶ παροινῶν εἰς ἄνδρα πολὺ αὐτοῦ σωφρονέστερον, οὐχ
αὐτῷ μόνον τῆς συμφορᾶς ἀλλὰ καὶ ἐμοὶ αἴτιος τοῦ
ἐγκλήματος γέγονεν. οἶμαι μὲν οὖν ἔγωγε οὔτε δίκαια τού-
τους οὔθ' ὅσια δρᾷν ἐγκαλοῦντας ἐμοί. τὸν γὰρ ἄρξαντα
τῆς πληγῆς, εἰ μὲν [1] σιδήρῳ ἢ λίθῳ ἢ ξύλῳ ἠμυνάμην αὐτὸν,
ἠδίκουν μὲν οὐδ' οὕτως — οὐ γὰρ ταὐτὰ ἀλλὰ μείζονα
καὶ πλείονα δίκαιοι οἱ ἄρχοντες ἀντιπάσχειν εἰσίν —· ταῖς
δὲ χερσὶ τυπτόμενος ὑπ' αὐτοῦ, ταῖς χερσὶν ἅπερ ἔπασχον
ἀντιδρῶν, πότερα ἠδίκουν; εἶεν. ἐρεῖ δὲ Ἀλλ' ὁ νόμος [2] εἴρ-
689 γων μήτε δικαίως μήτε ἀδίκως ἀποκτείνειν ἔνοχον τοῦ

[1] Deest σιδήρῳ. [2] εἴργων μήτε ἀδίκως, μήτε δικαίως

Ἠδίκουν μὲν οὐδ' οὕτως] Recentiores ἂν addidissent, sive post secundum, sive post tertium vocabulum. ne sic quidem injuria læsissem. Idem.

Ταὐτὰ] Subaudi μόνον, item κακά. pari modo ἀλλὰ μείζονα accipi debet pro ἀλλὰ καὶ μείζονα. Idem.

Οἱ ἄρχοντες] Scil. χειρῶν ἀδίκων. de quo agitur. Idem.

Μήτε δικαίως] Hæc duo vocabula, quæ desunt h. l. vulgatis, addidi e p. 122, 8. 128, 41. et aliis similibus locis. dictio μήτε δικαίως μήτε ἀδίκως significat, nullo, quocunque tandem, prætextu. Idem. Ita quoque, np. μήτε δικαίως μήτε ἀδίκως; tribus prope sæculis ante emendavit M. A. Muretus in Var. Lect. l. xvii. c. 7. Et mox [p. 77. v. 4.] vocabula parenthetica, οὐ γὰρ ταὐτὰ — ἀντιπάσχειν εἰσὶ, deletum ivit: quippe 'quæ, cum paulo superius [v. 23.]

φόνου τοῖς ἐπιτιμίοις ἀποφαίνει σε ὄντα· ὁ γὰρ ἀνὴρ τέθνηκεν. Ἐγὼ δὲ καὶ δεύτερον καὶ τρίτον οὐκ ἀποκτεῖναι φημί. εἰ μὲν γὰρ ὑπὸ τῶν πληγῶν ὁ ἀνὴρ παραχρῆμα ἀπέθανεν, ὑπ' ἐμοῦ μὲν δικαίως δ' ἂν ἐτεθνήκει — οὐ γὰρ ταὐτὰ ἀλλὰ μείζονα καὶ πλείονα οἱ ἄρξαντες δίκαιοι ἀντιπάσχειν εἰσί —· νῦν δὲ πολλαῖς ἡμέραις ὕστερον πονηρῷ ἰατρῷ ἐπιτρεφθεὶς διὰ τὴν τοῦ ἰατροῦ μοχθηρίαν καὶ οὐ διὰ τὰς πληγὰς ἀπέθανε· προλεγόντων γὰρ αὐτῷ τῶν ἄλλων ἰατρῶν, εἰ ταύτην τὴν θεραπείαν θεραπεύσοιτο, ὅτι ἰάσιμος ὢν διαφθαρήσοιτο, δι' ὑμᾶς τοὺς συμβούλους διαφθαρεὶς ἐμοὶ ἀνόσιον ἔγκλημα προσέβαλεν. ἀπολύει δέ με καὶ ὁ νόμος καθ' ὃν διώκομαι. τὸν γὰρ ἐπιβουλεύσαντα κελεύει φονέα εἶναι. ἐγὼ μὲν οὖν πῶς ἂν ἐπιβουλεύσαιμι αὐτῷ, εἰ μὴ [1] καὶ ἐπεβουλεύθην ὑπ' αὐτοῦ; τοῖς γὰρ αὐτοῖς ἀμυνόμενος αὐτὸν καὶ τὰ αὐτὰ δρῶν ἅπερ ἔπασχον, σαφὲς ὅτι τὰ αὐτὰ ἐπεβούλευσα καὶ ἐπεβουλεύθην. εἰ δέ τις, ἐκ τῶν πληγῶν τὸν θάνατον οἰόμενος γενέσθαι, φονέα με αὐτοῦ ἡγεῖται εἶναι, ἀντιλογισάσθω ὅτι διὰ τὸν ἄρξαντα αἱ πληγαὶ γενόμεναι τοῦτον αἴτιον τοῦ θανάτου καὶ οὐκ ἐμὲ ἀποφαίνουσιν ὄντα· οὐ γὰρ ἂν ἠμυνάμην μὴ τυπτόμενος ὑπ' αὐτοῦ. ἀπολυόμενος δὲ ὑπό [2] τε τοῦ ἄρξαντος τῆς 690
πληγῆς, ἐγὼ μὲν οὐδενὶ τρόπῳ φονεὺς αὐτοῦ εἰμί· ὁ δὲ ἀποθανὼν, εἰ μὲν ἀτυχίᾳ τέθνηκεν, τῇ ἑαυτοῦ ἀτυχίᾳ κέχρηται — ἠτύχησε γὰρ ἄρξας τῆς πληγῆς —, εἰ δ' ἀβουλίᾳ τινὶ, τῇ ἑαυτοῦ ἀβουλίᾳ διέφθαρται· οὐ γὰρ εὖ φρονῶν ἔτυπτέ με. ὡς μὲν οὖν οὐ δικαίως κατηγοροῦμαι, ἐπιδέδεικταί μοι. ἐθέλω δὲ τοὺς κατηγοροῦντάς μου πᾶσιν οἷς

[1] Deest καί.

[2] γε

recte ac loco suo posita essent, ut tam exiguo intervallo denuo hic legantur, literariorum stupor' effecisset.

Ταῦτα] Π. ταὐτά. H. Stephan.

Εἰ μὴ ἐπεβουλεύθην] Nisi volent adversarii quoque affirmare, id quod nunquam facient, interemptum quoque mihi insidiatum fuisse, et priorem quidem. quod si aient hi, tum ego quoque non negabo me insidias ejus aliis insidiis oppositis elusisse. Reisk.

Ὑπό γε τοῦ ἄρξαντος] Non bene convenit γε hic loci vi carens. malim τε. Sed tum deest aliquid. num ergo ὑπό τε τοῦ νόμου, ὑπό τε τοῦ ἄρξ.; Idem.

Ἠτύχησε γὰρ ἄρξας τῆς πληγῆς] Atqui hæc est, non ἀτυχία, sed ἀβουλία. Ergone sic locus erit concipiendus: εἰ μὲν ἀτυχίᾳ — (ἠτύχησε γὰρ πονηρῷ περιπεσὼν ἰατρῷ)· εἰ δ' ἀβουλίᾳ τινὶ, τῇ ἑαυτοῦ ἀβουλίᾳ διέφθαρται, ἄρξας τῆς πληγῆς. sinistro quodam fato si periit, non mihi debet imputari illud sinistrum fatum, sed ipsius, fuit quippe cui fatale esset, ut in manus imperiti medici incideret, qui eum sustulit. Sin autem temeritas eum necavit, non mea fecit, sed ipsius, quippe qui verbera prior ingesserit. Idem.

ἐγκαλοῦσιν ἐνόχους αὐτοὺς ὄντας ἐπιδείξαι. καθαρῷ μὲν μοι τῆς αὐτίας ὄντι φόνου ἐπιβουλεύοντες, ἀποστεροῦντες δέ με τοῦ ζῆν ὃν ὁ θεὸς παρέδωκε μοι, περὶ τὸν θεὸν ἀσεβοῦσιν· ἀδίκως δὲ θάνατον ἐπιβουλεύοντες τά τε νόμιμα συγχέουσι, φονεῖς τέ μου γίγνονται· ἀνοσίως δ' ἀποκτεῖναι ὑμᾶς με πεί- 35
691 θοντες, καὶ τῆς ὑμετέρας εὐσεβείας αὐτοὶ φονεῖς εἰσί. τούτους μὲν οὖν ὁ θεὸς ἐπιδείη τὴν δίκην· ὑμᾶς δὲ χρὴ τὸ ὑμέτερον σκοπαῦντας ἀπολῦσαί με μᾶλλον ἢ καταλαβεῖν βούλεσθαι. ἀδίκως μὲν γὰρ ἀπολυθείς, διὰ τὸ μὴ ὀρθῶς διδαχθῆναι ὑμᾶς ἀποφυγών, τοῦ μὴ διδάξαντος καὶ αὐτὸ ὑμέτερον τὸν προστρόπαιον τοῦ ἀποθανόντος καταστήσω· μὴ ὀρθῶς δὲ καταληφθεὶς ὑφ' ὑμῶν, ὑμῖν καὶ οὐ τούτῳ τὸ 127.1
μήνυμα τῶν ἀλιτηρίων προστρίψομαι. ταῦτ' οὖν εἰδότες, τουτοισὶ τὸ ἀσέβημα τοῦτο ἀναθέντες, αὐτοί τε καθαροὶ τῆς αὐτίας γενέσθε, ἐμέ τε ὁσίως καὶ δικαίως ἀπολύσετε· οὕτω γὰρ ἂν καθαρώτατοι πάντες οἱ πολῖται εἴημεν.

---

692 γ. ΕΚΚΑΤΗΓΟΡΙΑΣ Ο ΥΣΤΕΡΟΣ. 5

ΥΠΟΘΕΣΙΣ.

ΕΝ ! ταύτῃ φησὶ θαυμάζω ὅτι οὐκ εἰκὸς ἄρξαι χειρῶν ἀδίκων τὸν πρεσβύτερον. εἶτα δεῖ 2 εἰ καὶ οὕτως ἔχει, ὁ μέχρι φόνου ἀμυνόμενος ὑπεύθυνος. καὶ περὶ τοῦ ἰατροῦ, ὡς δι' ἀπειρίαν ἐσφάλη, ἀνεύθυνος ὤν.

ΤΟΥΤΟΝ τε οὐ θαυμάζω ἀνόσια δράσαντα ὅμοια οἷς 10
εἴργασται λέγειν· ὑμῖν τε συγγινώσκω βουλομένοις τὴν ἀκρίβειαν τῶν πραχθέντων μαθεῖν, τοιαῦτα ἀνέχεσθαι ἀκούοντας αὐτοῦ, ἃ ἐκβάλλεσθαι ἄξιά ἐστι. τὸν γὰρ ἄνδρα ὁμολογῶν τύπτειν τὰς πληγὰς ἐξ ὧν ἀπέθανεν, αὐτὸς [3] μὲν τοῦ τεθνηκότος οὔ φησι φονεὺς εἶναι, ἡμᾶς δὲ τοὺς τιμωροῦν- 15

[1] ταύτῃς [2] καὶ εἰ οὕτως [3] Deest μέν.

Καθαρῷ μὲν] Adde γάρ. IDEM.

Φονεῖς] Qui ad facinus impium aliquem induxerit, eum appellare sicarium pietatis ejus, plusquam sophisticum est. IDEM.

Τοῦ μὴ διδάξαντος] Id est, τοῦ μὴ ὀρθῶς διδάξαντος, ἁμοῦ δηλονότι. IDEM.

Τὸν προστρόπαιον] Π. τὸ προστρ. H. STEPHAN. Sed bene habet vulgata. ὁ προστρόπαιος, δαίμων puta, est ὁ δαίμων, πρὸς ὃν τρέπονται οἱ ἀδικούμενοι. numen illud, quod in contemtores atque violatores jurium aliis debitorum, præsertim necessariis, iisque mortuis, et universe erga pietatis et juris divini immemores, animadvertit pœnasque impietatis ab iis repetit. REISK.

Τούτῳ] Scil. τῷ ἐμῷ πατηρί. IDEM.

γ. Συγγινώσκω] Idem est ac εἰ dixisset: συγγινώσκομεν ὑμῖν, ὅτι διὰ τὸ βούλεσθαι τὴν ἀκρίβειαν τῶν πραχθέντων μαθεῖν, ἀνέχεσθε ἀκούοντες. IDEM.

τας αὐτῷ ζῶν τε καὶ βλέπων φονέας αὑτοῦ φησὶν εἶναι. θέλω δὲ καὶ τἆλλα παραπλήσια ἀπολογηθέντα τούτοις ἐπιδεῖξαι αὐτόν. εἶπε δὲ πρῶτον μὲν, εἰ καὶ ἐκ τῶν πληγῶν ἀπέθανεν ὁ ἀνὴρ, ὡς οὐκ ἀπέκτεινεν αὐτόν· τὸν γὰρ ἄρξαντα τῆς πληγῆς, τοῦτον αἴτιον τῶν πραχθέντων γενόμενον, καταλαμβάνεσθαι ὑπὸ τοῦ νόμου, ἄρξαι δὲ τὸν ἀποθανόντα. μάθετε δὴ πρῶτον μὲν, ὅτι ἄρξαι καὶ παροινεῖν τοὺς νεωτέρους τῶν πρεσβυτέρων εἰκότερόν ἐστι· τοὺς μὲν 693
γὰρ ἥ τε μεγαλοφροσύνη τοῦ γένους ἥ τε ἀκμὴ τῆς ῥώμης ἥ τε ἀπειρία τῆς μέθης ἐπαίρει τῷ θυμῷ χαρίζεσθαι, τοὺς δὲ ἥ τε ἐμπειρία τῶν παρανομουμένων ἥ τε ἀσθένεια τοῦ γήρως ἥ τε δύναμις τῶν νέων φοβοῦσα σωφρονίζει. ὡς δὲ οὐ τοῖς αὐτοῖς ἀλλὰ τοῖς ἐναντιωτάτοις ἠμύνατο αὐτὸν, αὐτὸ τὸ ἔργον σημαίνει. ὁ μὲν γὰρ, ἀκμαζούσῃ τῇ ῥώμῃ τῶν χειρῶν χρώμενος, ἀπέκτεινεν· ὁ δὲ ἀδυνάτως τὸν κρείσσονα ἀμυνόμενος, οὐδὲ σημεῖον οὐδὲν ὑπολιπὼν ὧν ἠμύνατο, ἀπέθανεν. εἰ δὲ ταῖς χερσὶν ἀπέκτεινε καὶ οὐ σιδήρῳ, ὅσον αἱ χεῖρες τοῦ σιδήρου οἰκειότεραι τούτῳ εἰσὶ, τοσούτῳ μᾶλλον φονεύς ἐστιν. ἐτόλμησε δὲ εἰπεῖν, ὡς ὁ ἄρξας τῆς πληγῆς καὶ μὴ διαφθείρας μᾶλλον τοῦ ἀποκτείναντος φονεύς ἐστι· τοῦτον γὰρ βουλευτὴν τοῦ θανάτου φησὶ γενέσθαι. ἐγὼ δὲ πολὺ τἀναντία τούτων φημί. εἰ γὰρ αἱ χεῖρες ἃ διανοούμεθα ἑκάστῳ ἡμῶν ὑπουργοῦσιν, ὁ μὲν πατάξας καὶ μὴ ἀποκτείνας τῆς πληγῆς βουλευτὴς ἐγένετο, ὁ δὲ θανασίμως τύπτων τοῦ θανάτου· ἐκ γὰρ ὧν ἐκεῖνος διανοηθεὶς ἔδρασεν, ὁ ἀνὴρ τέθνηκεν. ἔστι δὲ ἡ μὲν ἀτυχία τοῦ πατάξαντος, ἡ δὲ συμφορὰ τοῦ παθόντος. ὁ μὲν γὰρ ἐξ ὧν ἔδρασεν ἐκεῖνος διαφθαρεὶς, οὐ τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀλλὰ τῇ τοῦ πατάξαντος χρησάμενος ἀπέθανεν· ὁ δὲ μείζω ὧν 694
ἤθελε πράξας, τῇ ἑαυτοῦ ἀτυχίᾳ ὃν οὐκ ἤθελεν ἀπέκτεινεν. ὑπὸ δὲ τοῦ ἰατροῦ φάσκων αὐτὸν ἀποθανεῖν, θαυμάζω ὅτι οὐχ ὑφ' ἡμῶν τῶν συμβουλευσάντων ἐπιτρεφθῆναι φησὶν

Ἄρξαι καὶ παροινεῖν] Loco καὶ malim τοῦ. Idem.

Παρανομουμένων] Subaudi ὑπὸ μεθυόντων. Suspicio nasci possit de παροινουμένων, fugitiorum et malorum a crapula proficiscentium. Idem.

Τοῦτο γὰρ βουλ.] Η. τοῦτον. H. Stephan.

Τῆς πληγῆς] Subaudi ἀλλ' οὐ τοῦ θανάτου. Reisk.

αὐτὸν διαφθαρῆναι. καὶ γὰρ [1]ἂν εἰ μὴ ἐπετρέψαμεν, ὑπ' ἀθεραπείας ἂν ἔφη διαφθαρῆναι αὐτόν. [2]εἰ δέ τοι καὶ ὑπὸ τοῦ ἰατροῦ ἀπέθανεν, ὡς οὐκ ἀπέθανεν, ὁ μὲν ἰατρὸς οὐ φονεὺς αὐτοῦ ἐστίν — ὁ γὰρ νόμος ἀπολύει αὐτὸν —, διὰ δὲ τὰς τούτου πληγὰς ἐπιτρεψάντων ἡμῶν αὐτῷ, πῶς ἂν ἄλλος τις, ἢ ὁ διασάμενος ἡμᾶς χρῆσθαι αὐτῷ φονεὺς εἴη ἄν; οὕτω δὲ φανερῶς ἐλεγχόμενος ἐκ παντὸς τρόπου ἀποκτεῖναι τὸν ἄνδρα, εἰς τοῦτο τόλμης καὶ ἀναιδείας ἥκει, ὥστ' οὐκ ἀρκοῦν αὐτῷ ἐστὶν ὑπὲρ τῆς αὐτοῦ ἀσεβείας ἀπολογεῖσθαι, ἀλλὰ καὶ ἡμᾶς, οἳ τὸ τούτου μίασμα ἐπεξερχόμεθα, ἀθέμιστα καὶ ἀνόσια δρᾶν φησί. τούτῳ μὲν οὖν πρέπει καὶ ταῦτα καὶ ἔτι [3]τούτων δεινότερα λέγειν, τοιαῦτα δεδρακότι· ἡμεῖς δὲ τὸν θάνατον φανερὸν ἀποδεικνύντες, τήν τε πληγὴν ὁμολογουμένην ἐξ ἧς ἀπέθανε, τόν τε νόμον εἰς τὸν παταξαντα τὸν φόνον ἀναγοντα, ἀντὶ τοῦ πεφάντος ἐπισκήπτομεν ὑμῖν, τῷ τούτου φόνῳ τὸ μήνιμα τῶν ἀλιτηρίων ἀκεσαμένους πᾶσαν τὴν πόλιν καθαρὰν τοῦ μιάσματος καταστῆσαι. 695

δ. ΕΞΑΠΟΛΟΓΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

Ο ΜΕΝ ἀνὴρ, οὐ καταγνοὺς αὐτὸς [4]αὐτοῦ ἀλλὰ τὴν σπουδὴν τῶν κατηγόρων φοβηθείς, [5]ὑπαπέστη· ἡμῖν δὲ τοῖς φίλοις ζῶντι ἢ ἀποθανόντι εὐσεβέστερον ἀμύνειν αὐτῷ. ἄρι- 10
στα μὲν οὖν αὐτὸς [1]ἂν ὑπὲρ αὐτοῦ ἀπελογεῖτο· ἐπεὶ δὲ τάδε ἀκινδυνότερον ἔδοξεν ἡμῖν εἶναι, οἷς μέγιστον ἂν πένθος γένοιτο στερηθεῖσιν αὐτοῦ, ἀπολογητέον. δοκεῖ δέ μοι 128. 1

[1] Deest ἄν. [2] εἰ δ' ἔτι καὶ [3] τούτου [4] ἑαυτοῦ [5] ὑπεξέστη

Ἀθεραπείας] Sive ἀθεραπείας sive ἀθεραπευσίας exares, neutrum bene Græcum est: nam ut prius ab ἀθέραψ, ita posterius ab ἀθεραπεύω sit repetendum, quorum neutri cum linguæ Græcæ rationibus convenit. IDEM.

Εἰ δ' ἔτι καὶ] Π. εἰ δή τι καὶ — H. STEPHAN. Ego aliquando malebam εἰ δή τοι καὶ, nunc vero censeo bene habere vulgatam. adhuc vero si largiar —. REISK.

Ἔτι τούτων δεινότερα] Loco medii vocabuli malim τούτου, ob præmissum ταῦτα. IDEM.

δ. Ὁ μὲν ἀνὴρ] Accusatus homicidii, cujus loco (fuga enim discrimen capitis devitaverat) amicus ejus aliquis hanc dixit orationem, veluti defensionem secundariam. IDEM.

Τάδε] Fuga eum declinare, et eludere tempestatem imminentem, odioque inimicorum flagranti cedere, et nos ejus loco causam dicere. Ob insequens ἀκινδυνότερον, non ἀκινδυνότερα, suspicio fere oritur ad τάδε addendum esse φευγεῖν. IDEM.

περὶ τὸν ἄρξαντα τῆς πληγῆς τὸ ἀδίκημα εἶναι. ὁ μὲν οὖν διώκων οὐκ εἰκόσι τεκμηρίοις χρώμενος τοῦτον τὸν ἄρξαντα 696
φησὶν εἶναι. εἰ μὲν γάρ, ὥσπερ βλέπειν μὲν τοῖς ὀφθαλμοῖς, ἀκούειν δὲ τοῖς ὠσὶν, οὕτω κατὰ φύσιν ἦν ὑβρίζειν μὲν τοὺς νέους, σωφρονεῖν δὲ τοὺς γέροντας, οὐδὲν ἂν τῆς ὑμετέρας κρίσεως ἔδει· αὐτὴ γὰρ ἡ ἡλικία τὸν νέον κατέκρινε· νῦν δὲ, πολλοὶ μὲν νέοι σωφρονοῦντες, πολλοὶ δὲ πρεσβῦται παροινοῦντες, οὐδὲν μᾶλλον τῷ διώκοντι ἢ τῷ φεύγοντι τεκμήριον [1]γίνονται. κοινοῦ δὲ τοῦ τεκμηρίου ἡμῖν ὄντος, τούτῳ τῷ παντὶ προέχομεν· οἱ γὰρ μάρτυρες τοῦτόν φασιν ἄρξαι τῆς πληγῆς. ἄρξαντος δὲ τούτου, καὶ τῶν ἄλλων ἁπάντων κατηγορουμένων, ἀπολύεται τῆς αἰτίας. εἴτε γὰρ ὁ πατάξας,

[1] γίνεται

Τοῦτον] Accusatum absentem. IDEM.

Βλέπειν] Subaudi φῶς ἐστι κατὰ φύσιν. IDEM.

Οὕτω κατὰ] Interponendum videtur καί. IDEM.

Γίνεται] Π. γίνονται. H. STEPHAN.

Τούτῳ] In hoc, statim subjiciendo, præstamus adversariis, modis omnibus. REISK.

Τοῦτον] Item τούτου proximum, non, ut adhuc, ad reum cædis, sed ad occisum redeunt. IDEM.

Κατηγορουμένων] Subaudi ὀρθῶς καὶ δικαίως. etiamsi reliqua omnia vere recteque incusentur. IDEM.

Εἴτε γὰρ] Quod alterum εἴτε non insequitur, movet hoc suspicionem, h. l. aliquid deesse, ad hunc ferme modum. εἴτε γὰρ οὐδὲις, [ὁ φονεύς ἐστιν subaudi,] aut enim nemo, scil. homicida est, εἴτε ὁ πατάξας — Verumtamen, ut verum fatear, in hac reddenda sententia, non εἴτε — εἴτε videtur usurpaturus fuisse, sed potius ἢ — ἤ. deinde, si hanc interpretandi rationem probamus, etiam, post φονεύς ἐστι posito puncto (absoluta enim tum erit sententia) a novo sententiæ exordio leg. erit ὁ ἄρξας οὖν τῆς πληγῆς φ. γ. verum videtur potius vulgata h. l. bene habere, sed alterum membrum hujus griphi deesse, quod quale fuerit, aut esse potuerit, haud video. Hujusmodi enim umbratilibus et vitæ lucem haud ferentibus, putidis et puerilibus sophismatibus insutritus non sum. Alius aliquis hanc sententiam sic ferme planius enunciasset: εἰ ὁ πατάξας μᾶλλον, ἢ ὁ ἀνταμυνάμενος, ἐβιάσατο ὑμᾶς πρὸς τὸν ἰατρὸν ἰλθεῖν, ὑμεῖς καὶ ὁ ἄρξας τῆς πληγῆς μᾶλλον ὁ φονεύς ἐστιν, ἢ ὁ ἀμυνάμενος. Si verum est hoc [id quod prosulubio aperte falsum est] eum, qui prior pugnum sustulit et primum ictum intulit, magis, quam illum, qui vim illatam repulit, in causa fuisse, ut vos necesse haberetis ad medicum confugere, liquet occisum potius pro homicida habendum esse, quam alterum. — Jam debebat alterum sequi oppositum membrum — εἴτε ὁ ἀνταμυνάμενος ὑμᾶς ἐβιάσατο μᾶλλον, ἢ ὁ ἄρξας, πρὸς τὸν ἰατρὸν ἰλθεῖν, ὑμεῖς ἐστὲ οἱ φονεῖς, ἐν τῇ αἱρέσει τοῦ ἰατροῦ ἁμαρτόντες. Sin autem vis oblatæ repulsor magis, quam rixæ exorsor et princeps, vos coegit ad artem medici receptum habere, vos estis homicidæ, qui in delectu medici erraveritis. Sententia hæc si probetur, post ἐπὶ τὸν ἰατρὸν ἰλθεῖν sit interponenda. [Illa superius a me annotata in medio relinquam; quæ tum in chartas conjiciebam, cum dialecticam Antiphonteam minus callerem; quamquam ne nunc quidem calleo; neque tanti est ut perdiscam. Videor mihi tamen aliquantulum in ea magis nunc profecisse. Expromam itaque conjecturam, quæ in mentem venit locum hunc Latinum facienti. Scilicet pro εἴτε leg. esse simpliciter εἰ, et ad πατάξας addendum φονεύς ἐστι. Colligit sic: vos, adversarii, paulo ante sic arguebatis. qui vulnera alicui imposuerit tam sæva, ut sauciatus necesse haberet medicum arcessere, cujus insciti eum tollit; ille aggressor necasse sanciatum dicendus est. Hoc si verum est, verum item est alterum hoc meum argumentum. Qui verberibus ingerendis aliquem lacessat ad reverberandum, homicida sui est, si reverberantis vehementia modum excedens necem illi conciverit. Erit tum ὁ πατάξας v. ult. non ὁ πρῶτος, sed ὁ δεύτερος πατάξας. non verberator, seu rixæ sator, sed reverberatur, seu acceptæ in-

M

697 διὰ τὴν πληγὴν βιασάμενος ὑμᾶς ἐπιτρεφθῆναι ἰατρῷ, μᾶλλον τοῦ ἀποκτείναντος φονεύς ἐστιν, ὁ ἄρξας τῆς πληγῆς φονεὺς γίνεται. οὗτος γὰρ ἠνάγκασε τόν τε ἀμυνόμενον ἀν-
698 τιτύπτειν, τόν τε πληγέντα ἐπὶ τὸν ἰατρὸν ἐλθεῖν. ἀνόσιος γὰρ [1]ὁ γε διωκόμενος πάθοι, εἰ μήτε ἀποκτείνας ὑπὲρ τοῦ ἀποκτείναντος μήτε ἄρξας ὑπὲρ τοῦ ἄρξαντος φονεὺς ἔσται. ἔστι δὲ οὐδὲ ὁ ἐπιβουλεύσας οὐδὲν μᾶλλον ὁ διωκόμενος τοῦ διώκοντος. εἰ γὰρ ὁ μὲν ἄρξας τῆς πληγῆς τύπτειν καὶ μὴ ἀποκτείνειν διενοήθη, ὁ δὲ ἀμυνόμενος ἀποκτεῖναι, οὗτος ἂν ὁ ἐπιβουλεύσας εἴη. νῦν δὲ [2]καὶ ὁ ἀμυνόμενος, τύπτειν καὶ οὐκ ἀποκτεῖναι διανοηθεὶς ἥμαρτεν, εἰς ἃ οὐκ ἐβούλετο παρτάξας. τῆς μὲν οὖν πληγῆς βουλευτὴς ἐγένετο, τὸν δὲ θάνατον πῶς [3]ἂν ἐπεβούλευσεν, ὃν γε ἀκουσίως ἐπάταξεν;
699 οἰκεῖον δὲ τὸ ἁμάρτημα τῷ ἄρξαντι μᾶλλον ἢ τῷ ἀμυνομένῳ ἐστίν. ὁ μὲν γὰρ ἃ ἔπασχεν ἀντιδρᾶν ζητῶν, ὑπ' ἐκείνου διαζόμενος ἐξήμαρτεν· ὁ δὲ διὰ τὴν αὐτοῦ ἀκολασίαν πάντα δρῶν καὶ πάσχων, καὶ τῆς ἑαυτοῦ καὶ τῆς ἐκείνου ἁμαρτίας [4]δικαιος φονεὺς εἶναί ἐστιν. ὡς δὲ οὐδὲ κρείσσων ὢν, ἀλλὰ πολὺ ὑποδεέστερος ὢν ἔπασχεν ἠμύνετο, διδάξω. ὁ μὲν ὑβρίζων καὶ παροινῶν πάντ' ἔδρα καὶ οὐδὲν ἠμύνατο· ὁ δὲ μὴ πάσχειν ἀλλὰ ἀπωθεῖσθαι ζη-

[1] ὃς [2] Deest καί. [3] Deest ἄν. [4] δικαιότερος

juriæ altor. Et hanc argumentandi rationem in Latinis meis expressi. *In Accessionibus ad suas Antiphontis.*] IDEM.

Ἐπιτρεφθῆναι] Ob præmissum ὑμᾶς malim ἐπιτρίψαι. nam ægri ἐπιτρίπτονται medico, amici ægrotantis eum ἐπιτρίπτουσι. IDEM.

Ὁδὶ διωκόμενος] Videtur illa syllaba δὶ e proxima syllaba δι orta, ideoque amputanda esse, aut saltim leg. ὅ γε διωκ. nisi malis ὃδε accipere pro οὗτος, et sane accusatum interdum appellat τοῦτον. sed tum leg. sit eum articulo ὃδε ὁ διωκόμενος, ut hæc duo vocabula ὁ διωκ. interpretamento sint vocabuli ὃδε. Si accusatus pro homicida habebitur, tametsi cædem non commiserit, qui autem reapse commisit, is insons si habebitur; porro, qui rixam exorsus non sit, si is tamen nihilominus existimabitur exorsus esse; contra vero, qui revera jurgii princeps fuit, eum ab hac culpa opinio falsa absolvet: impium facinus id fuerit, et eveniat ei injuria infanda. IDEM.

Τύπτειν] Subaudi μόνον. IDEM.

Εἰς ἃ] Scil. μέρη τοῦ σώματος. vel εἰς τοσοῦτον μέτρον, ὅσον οὐκ ἐβούλετο. IDEM.

Ἐπιβούλευσεν] Imo vero ἐβούλευσεν: est enim hoc verbum in hac re legitimum. Sin autem vulgatam servabimus, erit αὐτῷ subaudiendum, vel τούτῳ potius, quod semper est subaudiendum, sive vulgatam tenebimus, sive conjecturam nostram adoptabimus. IDEM.

Δρᾶν καὶ πάσχειν] Scil. ἃ ἔδρασε καὶ ἔπαθε. IDEM.

Καὶ τῆς] Imo vero ἐκ τῆς ἑαυτοῦ, ἢ τῆς—. IDEM.

Ἁμαρτίας] Π. ἁμαρτίας αἴτιος &c. H. STEPHAN. Quo nil opus est, si placet, ut modo suadebamus, ἐκ τῆς ἑαυτοῦ, ἢ τῆς ἐκείνου. IDEM.

Εἶναι] Id est, νομίζεσθαι, ὑπολαμβάνεσθαι. IDEM.

Κρείσσων ὤν] Imo vero κρεισσόνως adverbialiter. v. versu 4. p. 83. et sic quoque ὑποδεεστέρως. IDEM.

Ὧν ἔπασχεν] Id est, ἢ ταῦτα ἦν, ἃ ἔπασχεν, scil. ὁ διωκόμενος. IDEM.

Ὁ μὲν] Adde γάρ. IDEM.

τῶν, ἅ τε ἔπασχεν ἀκουσίως ἔπασχεν, ἅ τ' ἔδρασε τὰ παθήματα βαυλόμενος διαφυγεῖν, ἐλασσόνως ἢ κατ' ἀξίαν τὸν ἄρξαντα ἠμύνατο, καὶ οὐκ ἔδρα. εἰ δὲ κρείσσων ὢν τὰς χεῖρας κρεισσόνως ἠμύνατο ἢ ἔπασχεν, οὐδ' οὕτω δίκαιος ὑφ' ὑμῶν καταλαμβάνεσθαι ἐστί. τῷ μὲν γὰρ ἄρξαντι παντάχοῦ μεγάλα ἐπιτίμια ἐπίκειται, τῷ δὲ ἀμυνομένῳ οὐδαμοῦ οὐδὲν ἐπιτίμιον γέγραπται. πρὸς δὲ τὸ [1] μήτε δι- 700
καίως μήτε ἀδίκως [2] ἀποκτείνειν ἀποκέκριται· οὐ γὰρ ὑπὸ τῶν πληγῶν ἀλλ' ὑπὸ τοῦ ἰατροῦ ὁ ἀνὴρ ἀπέθανεν, ὡς οἱ μάρτυρες μαρτυροῦσιν. ἔστι δὲ καὶ ἡ τύχη τοῦ ἄρξαντος καὶ οὐ τοῦ ἀμυνομένου. ὁ μὲν γὰρ ἀκουσίως πάντα δράσας καὶ παθὼν ἀλλοτρία τύχῃ κέχρηται· ὁ δὲ ἑκουσίως πάντα
129. 1 πράξας ἐκ τῶν αὐτοῦ ἔργων τὴν τύχην [3] προαγόμενος, τῇ αὐτοῦ. ἀτυχίᾳ ἥμαρτεν. ὡς μὲν οὖν [4] οὐδενὶ ἔνοχος τῶν κατηγορημένων ὁ διωκόμενος ἐστὶν, ἀποδέδεικται. εἰ δέ τις κοινὴν μὲν τὴν πρᾶξιν, κοινὴν δὲ τὴν ἀτυχίαν αὐτῶν ἡγούμενος εἶναι, [5] μηδὲν ἀπολύσιμον μᾶλλον ἢ καταλήψιμον ἐκ τῶν λεγομένων γινώσκει [6] αὐτὸν ὄντα, καὶ οὕτως ἀπολύειν
5 μᾶλλον ἢ καταλαμβάνειν δίκαιόν ἐστι. τόν τε γὰρ διώκοντα οὐ δίκαιον καταλαμβάνειν, μὴ σαφῶς διδάξαντα ὅτι ἀδι- 701
κεῖται· τόν τε φεύγοντα ἀνόσιον ἀλῶναι, μὴ φανερῶς ἐλεγχθέντα ἃ ἐπικαλεῖται. οὐτωσὶ [7] δὲ ἐκ παντὸς τρόπου τῶν ἐγκλημάτων ἀπολυομένου τοῦ ἀνδρὸς, ἡμεῖς ὁσιώτερον ὑμῖν

[1] μὴ [2] Deest ἀποκτείναι. [3] * προσαγόμενος [4] οὐδὲν [5] * μηδὲν
[6] αὐτῶν [7] Deest δέ.

Μὴ δικαίως] Imo vero μήτε δικαίως, ex formula juris. IDEM.

Ἀλλοτρίᾳ] Fortuna aliena uti dicitur aliquis, qui rem gerit seu prospere, feliciter, sapienter, gloriose, seu contra, non eo, quod ipse rem sic fuisset, utramvis in partem, exsecuturus, si solus eam per se gessisset, sed, quod alterius alicujus, cum quo illi ea res communis fuit, intervenit, seu secunda fortuna, seu adversa, quæ istum seu extulit et in sublimi collocavit, sive dejecit et evertit. verbo, propter consortium cum alio, merita illius participare. ut si pii centum e. c. eadem nave vecti cum uno impio, propter hunc unum una cum eo pereant. IDEM.

Προσαγόμενος] Ad se arcessens, advocans, conscisscens sibi. sic dedi de meo, pro vulgari προαγ. IDEM.

Αὐτῶν ὄντα] Π. αὐτὸν ὄντα. H. STEPHAN.

Δίκαιον] Non damnabo; potest enim αὐτὸν subaudiri: æquius est eum absolvi, quam condemnari. Atticismo tamen convenientius sit δίκαιοί ἐστι legi, vos deceat magis absolvere, quam condemnare. REISK.

Τόν τε γὰρ διώκοντα οὐ δίκαιον] Videtur locus ita esse corrigendus: τὸν μὲν γὰρ διώκοντα δίκαιον καταλαμβάνειν [sine particula infitiante]. nam accusatorem quidem jus et fas est condemnare eum, qui non perspicue docuerit, injuria se fuisse læsum. τὸν δὲ [per delta, non per tau] φεύγοντα ἀνόσιον ἁλῶναι. reum vero condemnari sit nefas eum, qui non perspicue criminum incusatorum fuerit convictus. IDEM.

Ὁσιώτερον] Quam nempe accusatores paulo ante fecerant. v. p. 80. v. 12. IDEM.

ἐπισκήπτομεν ὑπὲρ αὐτοῦ, μὴ τὸν φονέα ζητοῦντας κολάζειν τὸν καθαρὸν [1][ζητεῖν] ἀποκτείνειν. ὅ τε γὰρ ἀποκτείνας τοῦ [2]ἀποθανόντος οὐδὲν ἧσσον τοῖς αἰτίοις προστρόπαιόν ἐστιν, οὗτός τε ἀνοσίως διαφθαρεὶς διπλάσιον καθίστησι τὸ μίασμα τῶν ἀλιτηρίων τοῖς ἀποκτείνασιν αὐτόν. ταῦτα οὖν δεδιότες, τὸν μὲν καθαρὸν ὑμέτερον ἡγεῖσθε εἶναι 702 ἀπολύειν τῆς αἰτίας, τὸν δὲ μιαρὸν τῷ χρόνῳ ἀποδόντες φῆναι τοῖς ἔγγιστα τιμωρεῖσθαι ὑπολείπετε· οὕτω γὰρ δικαιότατα καὶ ὁσιώτατα πράξαιτ' ἄν.

[1] Absunt unci. [2] θανόντος

Ἐπισκήπτομεν] Sic dedi de meo, pro vulgari ἀπαιτ. nos vobis injungimus et demandamus. IDEM.

Ἀποκτείνας] Scil. τὸν θανόντα, ἐὰν ἀντιφαινηθῇ ἀδίκως καὶ ἀνοσίως. IDEM.

Τοῖς αἰτίοις] Scil. τούτου τοῦ φόνου, τοῦ δευτέρου. iis qui cædem hanc secundam, in ultionem prioris, conscioscunt. IDEM.

Οὗτος] Imo vero οὗτως: manet enim oratio in eodem subjecto, non desilit ad aliud; seu duo illa vocabula ἀποκτείνας et διαφθαρεὶς ad eandem personam redeunt. Contra, in vulgata ὁ ἀποκτείνας et οὗτος sibi opponuntur, velut duæ diversæ personæ. IDEM.

Ὑμέτερον] Scil. ἔργον vel καθῆκον. Constructio hæc est: ἡγεῖσθε ὑμέτερον εἶναι [id est προσήκειν ὑμῖν] τὸ τὸν καθαρὸν ἀπολύειν. IDEM.

Τὸν δὲ μιαρὸν—] Carent hæc sententia sana. Nam si peremtus ipse sui fuit homicida, quid opus erat spem ostendere de vero homicida olim aliquando in lucem prodendo. Sin autem ab alio quopiam peremtus est, ecquis ille homicida est, si accusatus non fuit, qui negatur fuisse. Nemo enim alius intervenit. Ergone frustra istæc atque temere ita projecta dicemus? Haud ausim affirmare. Quod si ergo sana his quoque inest sententia, videtur sophista judicibus auctor esse, ut accusatores a se cum hac excusatione dimittant. O boni, non liquet, quinam hujus peremti homicida fuerit. Nunc quidem abite domum, et ab hujus rei persecutione desistite. Nam is profecto insons est. Salvum vobis semper manet jus vestrum peremti homicidam in jure persequendi, si quando per temporis longinquitatem fiat, ut is deprehendatur atque noscitetur. Quod quia futurum nunquam erat, quippe negatum, tantundem erat, atque accusatores honesta oratione, et cum ludibrio spei negatæ, a foro suo blande ablegare. IDEM.

15

ΑΝΤΙΦΩΝΤΟΣ

ΠΕΡΙ ΤΟΥ ΗΡΩΔΟΥ ΦΟΝΟΥ

ΛΟΓΟΣ.

ΥΠΟΘΕΣΙΣ.

ΕΛΟΣ τις Μιτυληναίος ἀνὴρ ἐξ Ἀθηνῶν κατ' ταὐτὸν ἀνήγετο Ἡρώδῃ εἰς τὴν Αἶναν· ὡς δὲ πλέοντες ἐγένοντο ἐν τῇ Μυθύμνῃ τῆς Λέσβου, ἐπειδὴ ἀστάγαστον ἦν τὸ πλοῖον, εὑρόντες ἕτερον ἐστεγασμένον μετέβησαν. εἰσελθόντων δὲ αὐτῶν ἐν αὐτῷ, ἐξῆλθε περὶ τὴν ἑσπέραν ὁ Ἡρώδης, καὶ οὐκέτι εἰσῆλθεν. ἐκπλεόντος οὖν αὐτοῦ τοῦ Ἕλου μόνου, οἱ συγγενεῖς τοῦ τελευτήσαντος ἐγράψαντο μὲν τὸν Ἕλον ὡς πακοῦργον, ἐν δὲ τῷ δικαστηρίῳ ἀγωνιζόμενοι εἶπον ὅτι καὶ ἀπέπτυσαν αὐτόν. ὁ δὲ τὸ μὲν τῆς πακουργίας ἔγκλημα ἀπολύεται παραγραφικῶς, λέγων πακούργους εἶναι τοὺς κλέπτας καὶ λωποδύτας, ἂν οὐδὲν ἀπίδειξάν με ποιήσαντα. μεταβαίνει δ' ἐπὶ τὴν ὑπὲρ τοῦ φόνου ἀπολογίαν, καὶ στοχαστικῶς ἀγωνίζεται. τὰ δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους ποιᾷ.

ά. ΕΒΟΥΛΟΜΗΝ [1] μὲν, ὦ ἄνδρες, τὴν δύναμιν τοῦ 703
λέγειν καὶ τὴν ἐμπειρίαν τῶν πραγμάτων ἐξ ἴσου μοι καθεστάναι τῇ τε συμφορᾷ καὶ τοῖς κακοῖς τοῖς γεγενημένοις· νῦν δὲ τοῦ μὲν πεπείραμαι πέρα τοῦ προσήκοντος, τοῦ δὲ ἐνδεὴς εἰμι μᾶλλον τοῦ συμφέροντος. οὗ μὲν γάρ με ἔδει κακοπαθεῖν τῷ σώματι μετὰ τῆς αἰτίας τῆς οὐ προσηκούσης, ἐνταυθοῖ οὐδέν με ὠφέλησεν ἡ ἐμπειρία· οὗ δέ με δεῖ σωθῆναι μετὰ τῆς ἀληθείας εἰπόντα τὰ γενόμενα, ἐν τούτῳ με βλάπτει ἡ τοῦ λέγειν ἀδυναμία. πολλοὶ γὰρ ἤδη τῶν οὐ δυναμένων λέγειν ἄπιστοι γενόμενοι τοῖς ἀληθέσιν, αὐτοῖς τούτοις ἀπώλοντο, οὐ δυνάμενοι δηλῶσαι αὐτά· πολλοὶ δὲ τῶν λέγειν δυναμένων πιστοὶ γενόμενοι τῷ ψεύδεσθαι,

[1] Deest μέν.

ά. Ἐξ ἴσου] Valet h. l. idem atque ἀξίως, ἁρμοζόντως, πρεπόντως. Sententia non hæc est: vellem parem modum facundiæ et experientiæ mihi inesse, seu, me facundum pariter esse, atque sum rerum peritus. Sed istæc: vellem mihi et facundiam et usum rerum, præsenti huic meæ calamitati parem atque convenientem esse, ut per illa hoc possem facilius et æquius hanc ferre atque depellere. IDEM.

Τοῦ μὲν] Scil. τοῦ γενέσθαι ἐν συμφορᾷ καὶ πακοῖς. καὶ διὰ τοῦτο καὶ ἐν ἐμπειρίᾳ πραγμάτων. IDEM.

Τοῦ δὲ] Scil. τοῦ δύνασθαι λέγειν. IDEM.

Οὗ μὲν γὰρ] In carcere puta. v. p. 131. 29. et 31. ed. Steph. IDEM.

Ἔδει] Num δεῖ in præsenti, an potius εἰμὶ ἔδει. non oportebat, id est, οὐ ἐκακοπάθησα τίνος, οὐ δέον. ubi molestias et cruciatus pertuli adhuc, præter meritum meum. IDEM.

Οὗ δὲ] In judicio. IDEM.

Τοῖς ἀληθέσιν] Non dubito rescribere τῷ ἀληθεύειν, tum propter istud τῷ ψεύδεσθαι, tum ob facilem errorem in MSS. TAYLOR. Subaudi ἐστὶ. idem est ac si dixisset ἐστὶ τῷ ἀληθεῖ, ἢ τῷ ἀληθεύειν. REISK.

Αὐτοῖς τούτοις] Id est, δι' αὐτὰ ταῦτα τἀληθῆ. IDEM.

704 τούτῳ ἐσώθησαν, διότι ἐψεύσαντο. ἀνάγκη οὖν, ὅταν τις ἄπειρος ᾖ τοῦ ἀγωνίζεσθαι, ἐπὶ τοῖς τῶν κατηγόρων λόγοις εἶναι μᾶλλον ἢ ἐπ' αὐτοῖς τοῖς ἔργοις καὶ τῇ ἀληθείᾳ τῶν πραγμάτων. ἐγὼ οὖν, ὦ ἄνδρες, αἰτήσομαι ὑμᾶς, οὐχ ἅπερ οἱ πολλοὶ τῶν ἀγωνιζομένων ἀκροᾶσθαι σφῶν αὐτῶν αἰτοῦνται, σφίσι μὲν αὐτοῖς ἀπιστοῦντες, ὑμῶν δὲ προκατεγνωκότες ἄδικόν τι — εἰκὸς γὰρ ἐν ἀνδράσι γε ἀγαθοῖς καὶ 40 ἄνευ τῆς αἰτήσεως τὴν ἀκρόασιν ὑπάρχειν τοῖς φεύγουσιν, 705 οὗπερ καὶ οἱ διώκοντες ἔτυχον ἄνευ αἰτήσεως —· τάδε δὲ δέομαι ὑμῶν, συγγνώμην ἔχειν μοι, [1] τοῦτο μὲν ἐάν τι τῇ γλώσσῃ ἁμάρτω, καὶ ἡγεῖσθαι ἀπειρίᾳ μᾶλλον [2] αὐτὸ ἢ ἀδικίᾳ ἡμαρτῆσθαι, τοῦτο δὲ ἐάν τι ὀρθῶς εἴπω, ἀληθείᾳ μᾶλλον ἢ δεινότητι εἰρῆσθαι. οὐ γὰρ δίκαιον οὔτ' ἔργῳ ἁμαρτόντα διὰ ῥήματα σωθῆναι, οὔτ' ἔργῳ ὀρθῶς πράξαν- 120. 1 τα διὰ ῥήματα ἀπολέσθαι· τὸ μὲν γὰρ ῥῆμα τῆς [3] γλώσσης ἁμάρτημά ἐστι, τὸ δ' ἔργον τῆς γνώμης. ἀνάγκη δὲ κινδυ- 706 νεύοντα περὶ αὐτῷ καί πού τι καὶ ἐξαμαρτεῖν. οὐ γὰρ μόνον τῶν λεγομένων ἀνάγκη ἐνθυμεῖσθαι, ἀλλὰ καὶ τῶν ἐσομένων. ἅπαντα γὰρ τὰ ἐν ἀδήλῳ ἔτ' ὄντα ἐπὶ τῇ τύχῃ μᾶλλον ἀνάκειται ἢ τῇ προνοίᾳ. ταῦτ' οὖν ἔκπληξιν πολλὴν 5 παρέχειν ἀνάγκη ἐστὶ τῷ κινδυνεύοντι. ὁρῶ γὰρ ἔγωγε καὶ τοὺς πάνυ ἐμπείρους τοῦ ἀγωνίζεσθαι πολλῷ χεῖρον ἑαυτῶν

[1] τοῦτο μὲν συγγν. ἔ. μοι, ἐὰν [2] * αὐτῇ [3] γλώττης

Ἐπὶ τοῖς τῶν κατηγόρων λόγοις εἶναι] Infacundus et imperitus fori si tu sis, necesse tibi est, ut sis in potestate, arbitrio atque fortuna linguæ adversariorum; quæ lingua si mitis et humana est, potest reus, ab ea accusatus, nonnullam spem absolutionis habere; sin autem acerba et sæva et belluina est, plane desperandum est reo, et prorsus periit. ἐπὶ τοῖς ἔργοις εἶναι, est, prout aut æqua et probabilis, aut iniqua et nullo modo excusabilis causa est, ita aut vincere, aut cadere. Idem.

Γὰρ] Reddit rationem dicti, *rogant vos vestræ audientiæ benevolentiam*. εἰ γὰρ ὑμῶν οὐ προκατεγίνωσκον ἄδικόν τι, οὐκ ἂν ἐδέοντο ὑμῶν οὕτως, nam nisi vestræ æquitati diffiderent, non essent id rogaturi. εἰκὸς γὰρ—. Idem.

Ἀγαθοῖς] Post ἀγαθοῖς deesse videtur λέγουσι. reis enim verba facientibus coram viris bonis et honestis, par est, ut parata præsto sit audientiæ benevolentia, etiam sine illis precibus. Idem.

Οὗπερ] Constructio simplex et plana ferebat ἧσπερ scil. ἀκροάσεως. verum maluit orator ad occultum aliquid respicere, quod subaudiendum reliquit. scil. post φεύγουσιν subaudiendum est ὅπερ ἐστὶ πρᾶγμα, *quæ res est*, cujus petiti erant accusatores etiam sine rogatione. Idem.

Αὐτῇ] Scil. τῇ γλώσσῃ, sic in dativo dedi de meo, pro vulgari αὐτήν. natum hujus loci vitium, id quod aliis quoque sine numero locis accidit, e more librariorum vetustiorum iota dativi non subscribendi, sed ad latus adscribendi. quo e iota sæpissime ν exstitit. Schedæ Goensianæ Scaligerum perhibent correxisse τὸ τήν. quod si vere Scaliger exaravit, ejus mentem divinando consequi haud valeo. Sed proculdubio ille aliud quid dederat. notus est Græcismus ἡμαρτῆσθαι αὐτῇ pro ὑπ' αὐτῆς. Possit quoque αὐτῆς legi. Idem.

Αὐτῷ] Hoc, an αὐτοῦ præstet, ambigo adhuc. Scaligerum αὐτῶν correxisse perhibent schedæ Goensianæ, de quo item valde dubito. Idem.

λέγοντας, ὅταν ἔν τινι κινδύνῳ ὦσιν· ὅταν δ' ἄνευ κινδύνων τι διαπραΐσσωνται, μᾶλλον ὀρθουμένους. ἡ μὲν οὖν αἴτησις, ὦ ἄνδρες, καὶ νομίμως καὶ ὁσίως ἔχουσα, καὶ ἐν τῷ ὑμετέρῳ δικαίῳ οὐχ ἧσσον ἢ ἐν τῷ ἐμῷ· περὶ δὲ τῶν [1]κατηγορημένων ἀπολογήσομαι καθ' ἕκαστον.

β'. Πρῶτον μὲν οὖν, ὡς παρανομώτατα καὶ βιαιότατα εἰς τόνδε τὸν ἀγῶνα καθέστηκα, τοῦτο ὑμᾶς διδάξω, οὐ τῷ φεύγειν ἂν τὸ πλῆθος τὸ ὑμέτερον — ἐπεὶ κἂν ἀνωμότους ὑμῖν καὶ μὴ κατὰ νόμον μηδένα ἐπιτρέψαιμι περὶ τοῦ 707
σώματος τοῦ ἐμαυτοῦ διαψηφίσασθαι, ἕνεκά γε τοῦ πιστεύειν ἐμοί τε μηδὲν ἐξημαρτῆσθαι εἰς τόδε τὸ πρᾶγμα καὶ ὑμᾶς γνώσεσθαι τὰ δίκαια —, ἀλλ' ἵνα ᾖ τεκμήρια ὑμῖν καὶ τῶν ἄλλων πραγμάτων καὶ τῶν εἰς ἐμὲ ἡ τούτων βιαιότης καὶ παρανομία. πρῶτον μὲν γὰρ κακοῦργος ἐνδεδειγμένος φόνου δίκην φεύγω, ὃ οὐδεὶς πώποτ' ἔπαθε τῶν ἐν τῇ γῇ ταύτῃ. καὶ ὡς μὲν οὐ κακοῦργός εἰμι οὐδ' ἔνοχος τῷ τῶν κακούργων νόμῳ, αὐτοὶ οὗτοι τούτου μάρτυρες γεγένηνται· περὶ γὰρ τῶν κλεπτῶν καὶ λωποδυτῶν ὁ νόμος κεῖται, ὧν οὐδὲν ἐμοὶ προσὸν ἀπέδειξαν. οὕτως εἰς γε ταύτην τὴν ἀπαγωγὴν

[1] κατηγορουμένων

Ἐν τῷ ἐμῷ] Post ἐμῷ deesse videtur αὖτε, subaudi ἐστί. rogatio legumque civilium et divini juris sanctimoniæ, vestrisque nos minus, quam meis juribus accommodata, hæc est. vult dicere, non minus convenit vos eam admittere, quam me ad vos afferre. IDEM.

β'. Οὐ τῷ φεύγειν] Id est, οὐκ ἐπὶ τῷ φ. vel οὐ διὰ τὸ φ. vel οὐχ ὅτως φεύγομι. non quo defugiam conventum vestrum, non quo recusem coram vobis stare. Significat invitissimum se hoc certamen obisse, non quo diffidat, sive causæ suæ, sive judicum æquitati. Respiciunt itaque istæc ad illud βιαιότατα. Si per me stetisset, hic nunc non starem. IDEM.

Μὴ κατὰ νόμον μηδένα] Id est, μὴ κατὰ νόμον τινά. etiamsi lex nulla esset, cogens judicem in hujus modi causis ad cognoscendum. sed post μηδένα videtur διαζεῦξαι deesse. IDEM.

Τεκμήρια] Imo vero τεκμήριον. ob insequens βιαιότης καὶ παρανομία. IDEM.

Καὶ τῶν εἰς ἐμέ] Adde aut συμφασκόντων, aut ἐπιβουλῶν, aut tale quid. IDEM.

Κακοῦργος] Queritur, quod, cum in libello accusatorio, ex quo exhibito actio ἔνδειξις dicta instituta esset, reus latrocinii fuisset factus, et pro tali ad judices delatus (h. e. ἐνδεδειγμένος) tamen in ipsa actione, vel diotione causæ, non latrocinii, sed cædis patratæ accusetur. Ejusmodi factum novi et inauditi exempli esse, nunquam in foro Attico visum. IDEM.

Ὁ νόμος] Subaudi, ὁ περὶ τῶν κακούργων κείμενος. lex præcipiens de κακούργοις, maleficis, lata est ad compescendos fures et manticularios, non autem ad homicidas pertinet. IDEM.

Προσὸν] Sic correxerunt Stephanus et Scaliger Aldinæ vitium πρὸς ὃν. poterat quoque προσῆκον corrigi. atqui non docuerunt, me aut ad classem furum, aut ad classem manticulariorum pertinere. IDEM.

Εἰς γε ταύτην τὴν ἀπαγωγήν] Id est, ἐν τούτῳ τῷ ἀγῶνι, ὃς ἐστιν ἀγὼν ἀπαγωγῆς. fures, latrones et similes primum apud archontas ἐνδείκνυντο indicabantur. hi archontes tum e collegio undecimvirorum deputatis in domum vel ad latebram illam, ubi latebat indicatus reus, mittebant, qui eum in carcerem ducerent. In ejusmodi causis erat ἡ ἔνδειξις copulata cum τῇ ἀπαγωγῇ. Qui autem cædis solummodo accusarentur, hi non omnes ἀπήγοντο. non omnis φόνου δίκη erat etiam ἀπαγωγή. IDEM.

νομιμωτάτην καὶ δικαιοτάτην πεποιήκασιν ὑμῶν τὴν ἀποψήφισίν μου. φασὶ δὲ [1]αὖ τό τε ἀποκτείνειν μέγα κακούργημα εἶναι, καὶ ἐγὼ ὁμολογῶ μέγιστόν γε, καὶ τὸ ἱεροσυλεῖν καὶ τὸ προδιδόναι τὴν πόλιν· ἀλλὰ χωρὶς περὶ αὐτῶν ἑκάστου οἱ νόμοι κεῖνται. ἐμοὶ δὲ πρῶτον μέν, οὗ τοῖς ἄλλοις [2]εἴργεσθαι προαγορεύουσι τοῖς τοῦ φόνου φεύγουσι τὰς δίκας, [3]ἐνταυθοῖ πεποιήκασι τὴν κρίσιν, ἐν τῇ ἀγορᾷ· ἔπειτα τίμησίν μοι ἐποίησαν, τοῦ νόμου κειμένου τὸν ἀποκτείναντα ἀνταποθανεῖν, οὐ τοῦ ἐμοὶ συμφέροντος ἕνεκα, ἀλλὰ τοῦ σφίσιν αὐτοῖς λυσιτελοῦντος. καὶ ἐνταῦθα ἔλασσον ἔνειμαν τῷ τεθνηκότι τῶν ἐν τῷ νόμῳ κειμένων· οὗ δ' ἕνεκα, γνώσεσθε προϊόντος τοῦ λόγου. ἔπειτα δὲ, ὃ πάντας οἶμαι ὑμᾶς ἐπίστασθαι, ἅπαντα τὰ δικαστήρια ἐν ὑπαίθρῳ δικάζει τὰς δίκας τοῦ φόνου, οὐδενὸς ἄλλου ἕνεκα ἢ ἵνα τοῦτο μὲν οἱ δικασταὶ μὴ ἴωσιν εἰς τὸ αὐτὸ τοῖς μὴ καθαροῖς τὰς χεῖρας, τοῦτο δὲ ὁ διώκων τὴν δίκην τοῦ φόνου ἵνα μὴ [4]ὁμωρόφιος γίνηται τῷ αὐθέντῃ. σὺ δὲ τοῦτο μὲν παρελθὼν τοῦτον τὸν νόμον τοὐναντίον τοῖς ἄλλοις πεποίηκας· τοῦτο δὲ δέον σε διομόσασθαι ὅρκον τὸν μέγιστον καὶ ἰσχυρότατον, ἐξώλειαν αὐτῷ καὶ γένει καὶ οἰκίᾳ τῇ σῇ

[1] αἰτό τε τὸ ἀποκτ. [2] εἴργεσθαι [3] ἐνταυθοῖ [4] ὁμοῴφιος γίνεται

Πεποιήκασιν ἡμῖν] Ὑμῖν. TAYLOR. ἡμῖν dedi de meo, pro vulgari ὑμῖν. effecerunt, ut jure summo et sanctissimo me absolvere possitis a crimine κακουργίας, quod ob crimen ego in carcerem abductus fui. REISK.

Κακούργημα] Ita merus et simplex φόνος ab JCtis Atticis in numero τῶν κακουργημάτων non habebatur, tametsi per se natura sua esset vel in præcipuis eorum. φόνου rens a vobis agor, inquit, at antea tamen pro κακούργῳ delatus ad magistratum et in carcerem ductus. hæc inter se non constant. φονεὺς et κακοῦργος differunt inter se. [Arguit sic: Si licet in homicidas agere ex titulo κακουργίας, licebit ex eodem titulo in sacrilegos quoque et in proditores patriæ agere. Verum hoc non licet. Nam sacrilegi judicantur et puniuntur ex præscripto legum peculiariter de iis latarum, quæ a legibus in maleficos latis diversæ sunt. quod idem quoque sic habet in proditoribus. Ergo, etiamsi homicidium non minus capitale sit maleficium, quam ullum aliud scelus, nefas tamen est hominem ex titulo κακουργίας maleficii in carcerem raptum, et inde in judicium productum, ipso in judicio condemnare, non ut κακοῦργον maleficum, sed ut homicidam. Nam peculiaria sua cujusque sunt jura, tam maleficorum, quam homicidarum. Neque illos ex horum jure licet judicare, neque hos ex illorum. Consequitur ex his, vocabulum κακοῦργος, quamvis stirpitus, hoc est per etymologiam, latissime pateat, nullumque non genus scelerum complectatur, tamen in usu loquendi foro Attico proprio tam late non patere, sed ad solos fures, latrones, grassatores, manticularios, veticularios restringi, brevibus ut dicam, ad eos omnes, qui bona eripientes, vitam spoliatis salvam relinquunt. Male itaque faciant adversarii mei, me, alio crimine in jus vocatum, ex alio condemnantes. *Accus. ad suam Antiph.*] IDEM.

Ὁ διώκων] V. Not. Valckenaer. p. 671. ed. R.

Τοὐναντίον] Ergo non sub dio, sed sub tecto. Verumtamen forum, ni fallor, sub dio erat. Quis mihi nodum hunc expediet? REISK.

ἐπαιρόμενον, ἢ μὴν μὴ ἄλλα κατηγορήσειν ἐμοῦ ἢ εἰς αὐ-
τὸν τὸν φόνον, ὡς ἔκτεινα, ἐν ᾧ οὔτ' ἂν κακὰ πολλὰ εἰρ-
γασμένος ἡλισκόμην ἄλλῳ ἢ αὐτῷ τῷ πράγματι, οὔτ' ἂν
πολλὰ ἀγαθὰ εἰργασμένος τούτοις ἂν ἐσωζόμην τοῖς ἀγα-
θοῖς· ἃ σὺ παρελθών, αὐτὸς σεαυτῷ [1]νόμους ἐξευρών,
ἀνώμοτος μὲν αὐτὸς ἐμοῦ κατηγορεῖς, ἀνώμοτοι δὲ οἱ μάρ-
τυρες καταμαρτυροῦσι, δέον αὐτοὺς τὸν αὐτὸν ὅρκον σοὶ 710
διομοσαμένους καὶ ἁπτομένους τῶν σφαγίων καταμαρτυ-
ρεῖν ἐμοῦ. ἔπειτα κελεύεις τοὺς δικαστάς, ἀνωμότοις πι-
στεύσαντας τοῖς μαρτυροῦσι, φόνου δίκην καταγνῶναι, οὓς
σὺ αὐτὸς ἀπίστους κατέστησας παρελθὼν τοὺς κειμένους
νόμους, καὶ [2]εἴ γε χρῆναι αὐτοῖς τὴν σὴν παρανομίαν κρείσ-
σω γενέσθαι αὐτῶν τῶν νόμων.

γ'. Λέγεις δὲ ὡς οὐκ ἂν παρέμεινα εἰ ἐλελύμην, ἀλλ'
ᾠχόμην ἂν ἀπιών, ὥσπερεὶ ἄκοντά με ἀναγκάσας εἰσελ-
θεῖν εἰς τὴν γῆν ταύτην. καίτοι ἐμοὶ εἰ μηδὲν διέφερε [3]στέ-
131. 1 ρεσθαι τῆσδε τῆς πόλεως, ἴσον ἦν μοι καὶ προσκληθέντι 711
μὴ ἐλθεῖν, ἀλλ' ἐρήμην ὄφλειν τὴν δίκην, [4]τοῦτο δ' ἀπολο-
γησαμένῳ τὴν προτέραν ἐξεῖναι ἐξελθεῖν· ἅπασι γὰρ τοῦτο
κοινόν ἐστι. σὺ δέ, ὃ τοῖς ἄλλοις Ἕλλησι κοινόν ἐστιν, ἰδίᾳ
ζητεῖς με μόνον ἀποστερεῖν, αὐτὸς σαυτῷ νόμον θέμενος.
καίτοι τούς γε νόμους, οἳ κεῖνται περὶ τῶν τοιούτων, πά-
5 τας ἂν οἶμαι ὁμολογῆσαι κάλλιστα νόμων ἁπάντων κεῖσθαι
καὶ ὁσιώτατα. ὑπάρχει μέν γε αὐτοῖς ἀρχαιοτάτοις εἶναι
ἐν τῇ γῇ ταύτῃ, ἔπειτα τοὺς [5]αὐτοὺς ἀεὶ περὶ τῶν αὐτῶν,
ὅπερ μέγιστόν ἐστι σημεῖον νόμων καλῶς κειμένων. ὁ γὰρ
χρόνος καὶ ἡ ἐμπειρία τὰ μὴ καλῶς ἔχοντα ἐκδιδάσκει
τοὺς ἀνθρώπους. ὥστε οὐ δεῖ ὑμᾶς ἐκ τῶν τοῦ κατηγόρου
λόγων τοὺς νόμους καταμανθάνειν, εἰ καλῶς ὑμῖν κεῖνται
10 ἢ μή, ἀλλ' ἐκ τῶν νόμων τοὺς τοῦ κατηγόρου λόγους, εἰ
ὀρθῶς καὶ νομίμως ὑμᾶς διδάξουσι τὸ πρᾶγμα ἢ οὔ. οὕτως

[1] τοὺς νόμους [2] εἴ γε] λέγων [3] Deest στέρεσθαι. [4] τοῦτο] οὕτω [5] αὐτοὺς εἶναι ἀεὶ

Οὔτ' ἂν πολλὰ] Pro media voce malim ἄν. REISK.

Ἃ σὺ παρελθὼν] Anacoluthum habes. Constructio postulat ταῦτα. cohærent enim verba inter se sic: σὺ δὲ (v. p. 88. v. antep.) παρελθὼν — tum rursus continuat h. l. ταῦτα σὺ παρελθὼν — verum, velut oblitus sui, et superius coeptæ neque absolutæ orationis, quasi de novo exorditur orationem, dicens ἃ σὺ παρελθών. IDEM.

γ'. Ἐξεῖναι] Imo vero ἐξῆν. IDEM.

Διδάξουσι] Malim διδάσκουσι in præsente, ut etiam p. 141. 26. ed. Steph. legitur: ubi locus hic ipse iisdem plane verbis iteratus habetur. IDEM.

Οὕτως οἵ γε νόμοι] Malim εἰσ', οὕτως οἱ

οἵ γε νόμοι κάλλιστα κεῖνται οἱ περὶ φόνου, οὓς οὐδεὶς πώποτε ἐτόλμησε κινῆσαι· σὺ δὲ μόνος δὴ τετόλμηκας γενέσθαι νομοθέτης ἐπὶ τὰ πονηρότατα, καὶ ταῦτα παρελθὼν ζητεῖς με ἀδίκως ἀπολέσαι. ἃ δὲ σὺ παρανομεῖς, αὐτὰ ταῦτά μοι [1] μέγιστα μαρτύριά ἐστιν· εὖ γὰρ ἤδεις, ὅτι οὐδεὶς ἂν ἦν σοι ὃς ἐκεῖνον τὸν ὅρκον διομοσάμενος ἐμοῦ κατεμαρτύρησεν. ἔπειτα δὲ οὐχ ὡς πιστεύων τῷ πράγματι ἀναμφισβητήτως ἕνα τὸν ἀγῶνα περὶ τοῦ πράγματος ἐποιησάμην, ἀλλὰ ἀμφισβήτησιν καὶ λόγον ὑπελίπου ὡς καὶ τοῖς τότε δικασταῖς ἀπιστήσων. ὥστε μηδέν μοι ἐνθάδε μηδὲ πλέον εἶναι μηδ' ἀποφυγόντι, ἀλλ' ἐξεῖναί σοι λέγειν ὅτι κακοῦργος ἀπέφυγον, ἀλλ' οὐ τοῦ φόνου τὴν δίκην· ἐλὼν δ' ἂν ἀξιώσεις με ἀποκτεῖναι ὡς τοῦ φόνου τὴν δίκην ὠφληκότα. καίτοι πῶς ἂν εἴη τούτων δεινότερα μηχανήματα, εἰ [2] ὑμῖν μὲν ἅπαξ [3] τουτουσὶ πείσασι κατείργασταί ἃ βούλεσθε, ἐμοὶ δ' ἅπαξ [4] ἀποφυγόντι ὁ αὐτὸς κίνδυνος ὑπολείπεται; [5][τούτῳ δὲ πάλιν εἰς ἡμᾶς ἐπηρεάζειν ἐξέσται;] ἔτι δὲ μάλ' ἐδεδήειν, ὦ ἄνδρες, παρανομώτατα ἁπάντων ἀνθρώπων. ἐθέλοντος γάρ μου ἐγγυητὰς τρεῖς καθιστάναι κατὰ τὸν νόμον, οὕτως οὗτοι διεπράξαντο τοῦτο ὥστε μὴ ἐγγενέσθαι μοι ποιῆσαι. τῶν δὲ ἄλλων ξένων ὅστις πώποτε ἠθέλησε καταστῆσαι ἐγγυητὰς, οὐδεὶς πώποτ' ἐδέδη. καίτοι οἱ ἐπιμεληταὶ τῶν κακούργων τῷ αὐτῷ χρῶνται νόμῳ τούτῳ. ὥστε καὶ οὗτος, κοινὸς τοῖς ἄλλοις

[1] μέγιστά μοι [2] ἡμῖν [3] Desunt τουτουσὶ -- δ' ἅπαξ. [4] ἀποφυγοῦσι [5] Absunt uncis.

μὲν νόμοι. IDEM.

Παρελθὼν] Participium hoc si accipis pro *transgressus*, ταῦτα non videtur bene habere, sed in eo aut τὰ ἴσα, aut τὰ ὅσια, aut denique πάντας [scil. τοὺς νόμους] latere, aut τὰ ταυτά: sin autem pro *progressus*, legi possit κἀνταῦθα παρελθὼν, et huc *progressus*, in hoc forum, in conspectum horum judicum. IDEM.

Μαρτύρια] Subaudi κατὰ σοῦ καὶ τῆς σῆς παρανομίας. IDEM.

Περὶ τοῦ πράγματος] Num περὶ τοῦ αὐτοῦ πρ. una eademque in causa non mansisti. debebas enim me, quem κακοῦργον detulisses, etiam in ipsa actione κακουργήματος reum peragere. tu vero in delatione aliud, et rursus aliud in actione incusas, ibi κακούργημα, hic φόνον. IDEM.

Μηδὲ πλέον] Aut hoc μηδὲ est delendum, aut interponendum est ἀλόντι. neque damnato mihi, neque absoluto, quicquam prodesse. IDEM.

Λέγειν] Subaudi εἰ ἀφίγμαν ταύτην τὴν δίκην. IDEM.

Κακοῦργος] Num κακουργίας, scil. δίκην. IDEM.

Ἔτι δὲ μάλ' ἐδεδήειν] Non intelligo quid sibi hoc μάλα velit, nisi si quod adverbium desit, e. c. οἰκτρῶς, aut ἀδίκως, aut ὡμῶς, aut ἐπὶ δηρὸν *admodum diu*. nam cum παρανομώτατα nequit copulari, quia nimis longe avulsa illa a sese sunt, et μάλα non cum superlativis, sed cum positivis solet copulari. IDEM.

Τοῦτο ὅστις] Inverso malim ordine, ὅστις τοῦτο. IDEM.

πᾶσιν ὦν, ἐμοὶ μόνῳ ἐπέλιπε μὴ ὠφελεῖσθαι τοῦδε τοῦ νόμου. τούτοις γὰρ ἦν τοῦτο συμφέρον, πρῶτον μὲν ἀπαρασκευότατον γενέσθαι με, μὴ δυνάμενον διαπράσσεσθαι [1] ἐμαυτὸν ταμαυτοῦ πράγματα, ἔπειτα κακοπαθεῖν τῷ σώματι, τούς τε φίλους προθυμοτέρους ἔχειν τοὺς ἐμαυτοῦ 714 τούτοις τὰ ψευδῆ μαρτυρεῖν ἢ ἐμοὶ ταληθῆ λέγειν, διὰ τὴν τοῦ σώματος κακοπάθειαν. ὄνειδός τε αὐτῷ [2] γε ἐμοὶ περιέθεσαν καὶ τοῖς ἐμοῖς προσήκουσιν εἰς τὸν βίον ἅπαντα. οὕτωσὶ μὲν δὴ πολλοῖς ἂν σωθεὶς τῶν νόμων τῶν ὑμετέρων καὶ τοῦ δικαίου καθέστηκα εἰς τὸν ἀγῶνα· ὅμως μέντοι γε καὶ ἐκ τούτων πειράσομαι ἐμαυτὸν ἀναίτιον ἐπιδείξαι. καίτοι χαλεπόν γε τὰ ἐκ πολλοῦ κατεψευσμένα καὶ ἐπιβεβουλευμένα, ταῦτα παραχρῆμα ἀπελέγχειν· ἃ γάρ τις μὴ προσεδόκησεν, οὐδὲ φυλάξασθαι ἐγχωρεῖ.

δ'. Ἐγὼ δὲ τὸν μὲν πλοῦν ἐποιησάμην ἐκ τῆς Μιτυλήνης, ὦ ἄνδρες, ἐν τῷ πλοίῳ πλέων ᾧ Ἡρώδης οὗτος, ὃν φασιν ὑπ' ἐμοῦ ἀποθανεῖν· ἐπλέομεν δὲ εἰς τὴν Αἶνον, ἐγὼ μὲν ὡς τὸν πατέρα — ἐτύγχανε γὰρ ἐκεῖ ὢν τότε —, ὁ δ' Ἡρώδης ἀνδράποδα Θραξὶν ἀνθρώποις ἀπολύσων. συνέπλει 715 δὲ τά τε ἀνδράποδα ἃ ἔδει αὐτὸν ἀπολῦσαι, καὶ οἱ Θρᾷκες οἱ λυσόμενοι. τούτων δ' ὑμῖν τοὺς μάρτυρας παρέξομαι.

[1] Deest ἐμαυτόν.

[2] * τε ἐμοὶ περιέθεσαν

Ἐμοὶ—] Leg. videtur: ἐπ' ἐμοὶ μόνῳ ἐπέλιπεν, ὥστε μὴ ὠφελεῖσθαι [subaudi ἐμὲ] ὑπὸ [vel παρὰ] τοῦδε τοῦ νόμου. IDEM.

Προθυμοτέρους] An περιθυμοτέρους legatur, parum interesse arbitror. Modo teneatur, vulgata si servetur, subaudiri debere ἑαυτούς. tertio futurum videbant adversarii, ut ipsi haberent amicos meos paratiores ad operam testimonii præstandam ipsis, tametsi falsi testimonii, quam mihi, tametsi veri. Præterea suspicor, ex insequentibus, ante ἔχειν vel ἕξειν deesse ἐμέλλον futurum erat ut haberent. IDEM.

Τἀληθῆ λέγειν] Post λέγειν deesse videtur καὶ ἐμαυτὸν ἀπολογεῖσθαι ἐδυμήτεον. Subaudi a communi ἕξειν ἐμέλλον. habituri me erant ipsummet ad causam capitis dicendam segniorem ex animi dejectione, atque cunctantiorem, si corpus mihi a tædiis carceris confractum et commaceratum esset. IDEM.

Πολλοῖς] Id est, ὑπὸ πολλῶν, a multis legum vestrarum. IDEM.

Καὶ τοῦ δικαίου] Imo vero τῷ δικαίῳ. nec-que enim dici potest πολλοῖς τοῦ δικαίου. Aut ergo hic loci vitium est, aut paulo ante, et pro πολλοῖς leg. est ὑπὸ πολλῶν. nisi si subaudire velis κεφαλαίοις, e multis capitibus vel locis juris æqui, quod minus placet. IDEM.

δ'. Ὁ Ἡρώδης] Fort. leg. ὃ καὶ Ἡρώδης. IDEM.

Ἀπολύσων] Id est, ἀποδωσόμενος, venditurus. IDEM.

Συνέπλει κ. τ. λ.] Itane vero eadem navigio conclusi? Nil mirer Herodem in Thraciam navigare cum mancipiis ibi distrahendis: non magis mirer Thracas homines Mitylenam navigare ad mancipia ab eo emendum. Sed mansissent tum, aut illi in Thracia, aut hic domi. Cur autem et venditor, et emtores, et venalitii, simul omnes in Thraciam navigent, causæ probabilis nil exputo. Ergone mancipia aut vendenda sine emtoribus a venditore illuc, ubi venire deberent, pervehi non poterant? aut jam vendita, et ab emtoribus suscepta, non poterant a solis emtoribus in Thraciam perduci sine venditore? IDEM.

ΜΑΡΤΥΡΕΣ.

ἡ μὲν πρόφασις ἑκατέρῳ τοῦ πλοῦ αὕτη· ἐτύχομεν δὲ χειμῶνί τινι χρησάμενοι, ὑφ' οὗ ἠναγκάσθημεν κατασχεῖν εἰς τῆς Μηθυμναίας τι χωρίον, οὗ τὸ πλοῖον ὥρμει τοῦτο εἰς ὃ μετεκβάντα φασὶν ἀποθανεῖν αὐτὸν τὸν Ἡρώδην. καὶ πρῶτον μὲν αὐτὰ ταῦτα σκοπεῖτε, ὅτι μὴ προνοίᾳ μᾶλλον 132. 1
ἐγίνετο ἢ τύχῃ. οὔτε γὰρ πείσας τὸν ἄνδρα οὐδαμοῦ ἀπελέγχομαι σύμπλουν μοι γενέσθαι, ἀλλ' αὐτὸς καθ' αὑτὸν
422 τὸν πλοῦν πεποιημένος ἕνεκα [1]πραγμάτων ἰδίων· οὔτ' [2]αὖ ἐγὼ ἄνευ προφάσεως ἱκανῆς φαίνομαι τὸν πλοῦν ποιησάμενος εἰς τὴν Αἶνον, οὔτε κατασχόντες εἰς τὸ χωρίον τοῦτο ἀπὸ παρασκευῆς οὐδεμιᾶς, ἀλλ' ἀνάγκῃ χρησάμενοι· οὔτ' αὖ ἐπειδὴ ὡρμισάμεθα, ἡ μετάβασις ἐγένετο εἰς τὸ ἕτερον πλοῖον οὐδενὶ μηχανήματι οὐδ' ἀπάτῃ, ἀλλ' ἀνάγκῃ καὶ
716 τοῦτο ἐγίγνετο. ἐν ᾧ μὲν γὰρ ἐπλέομεν, ἀστέγαστον ἦν τὸ πλοῖον· εἰς ὃ δὲ μετέβημεν, ἐστεγασμένον· τοῦ δὲ ὑετοῦ ἕνεκα ταῦτ' ἦν. τούτων δ' ὑμῖν μαρτυρίας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

422 ἐπειδὴ δὲ [3]μετεξέβημεν εἰς τὸ ἕτερον πλοῖον, ἐπίνομεν. καὶ ὁ μέν ἐστι φανερὸς ἐκβὰς [4]ἐκ τοῦ πλοίου καὶ οὐκ εἰσβὰς πάλιν· ἐγὼ δὲ τὸ παράπαν οὐκ ἐξέβην τοῦ πλοίου τῆς νυκτὸς ἐκείνης. τῇ δ' ὑστεραίᾳ, ἐπειδὴ ἀφανὴς ἦν ὁ ἀνήρ, ἐζητεῖτο οὐδέν τι μᾶλλον ὑπὸ τῶν ἄλλων ἢ καὶ ὑπ' ἐμοῦ· καὶ εἴ τῳ τῶν ἄλλων ἐδόκει δεινὸν εἶναι, καὶ ἐμοὶ ὁμοίως. καὶ εἰς τε τὴν Μιτυλήνην ἐγὼ αἴτιος ἦν πεμφθῆναι ἄγγελον, καὶ τῇ ἐμῇ γνώμῃ ἐπέμπετο. καὶ ἄλλου οὐδενὸς ἐθέλοντος βα- 15
δίζειν, οὔτε τῶν ἀπὸ τοῦ πλοίου οὔτε τῶν αὐτῷ τῷ Ἡρώδῃ

[1] πραγμάτων ἴσμεν [2] αὖ] οὖν [3] μετέβημεν [4] Deest ἐκ.

Χειμῶνί τινι] Num ante τινι deest epithetam aliquod δεινῷ, vel φοβερῷ, vel σφοδρῷ. IDEM.

Ὥρμει τοῦτο] F. δρμει ἕτερον. V. p. 132. v. 9. ed. Steph. TAYLOR.

Αἶνον] Aut cum οὔτε est commutandum, aut, si servatur, delenda sunt proxima, τὸν Ἡρώδην, ut e scholio nata. REISK.

Πεποιημένος] Subjice tacita mente repetendum ἐλήγχεται e præmisso ἀπελήγχομαι. melius tamen conveniret additum φαίνεται. IDEM.

Κατασχόντες] Adde ἐμεῖς. ubi subauditur φαινόμεθα, e proximo præmisso φαίνομαι tacite iterandum. IDEM.

Μαρτυρίας] Quamquam nil interest, malim tamen ob proximum insequens μάρτυρες non μαρτυρίαι, hic legi litera minus μάρτυρας. IDEM.

Δεινὸν εἶναι] Scil. τὸ γεγονὸς, vel, τὸ οὐχ εὑρίσκεσθαι τὸν ἄνδρα. IDEM.

Τῶν ἀπὸ τοῦ πλοίου] Scil. εἰς ὃ μετέβημεν, hominum illo navigio, in quod transcenderamus, jam ante vectorum, quam

συμπλεόντων, ἐγὼ τὸν ἀκόλουθον τὸν ἐμαυτοῦ πέμπειν ἕτοιμος ἦν· καίτοι γε οὐ δήπου κατ' ἐμαυτοῦ μηνυτὴν ἔπεμπον εἰδώς. ἐπειδὴ δὲ ὁ ἀνὴρ οὔτε ἐν τῇ Μιτυλήνῃ ἐφαίνετο ζητούμενος οὔτ' [1]ἄλλοθι οὐδαμοῦ, πλοῦς τε ἡμῖν ἐγίνετο, καὶ ταῦλ' ἀνήγετο πλοῖα ἅπαντα, ᾠχόμην καὶγὼ πλέων. τού- 717
των δ' ὑμῖν τοὺς μάρτυρας [2]παρασχήσομαι.

ΜΑΡΤΥΡΕΣ.

ε. Τὰ μὲν γενόμενα ταῦτ' ἐστίν· ἐκ δὲ τούτων ἤδη σκοπεῖτε τὰ εἰκότα. πρῶτον μὲν γὰρ πρὶν ἀνάγεσθαί με εἰς τὴν Αἶνον, ὅτε ἦν ἀφανὴς ὁ ἀνὴρ, οὐδεὶς ἠτιάσατό με ἀνθρώπων, ἤδη πεπυσμένων τούτων τὴν ἀγγελίαν· οὐ γὰρ ἄν ποτε ᾠχόμην πλέων· ἀλλ' εἰς μὲν τὸ παραχρῆμα κρεῖσσον ἦν τὸ ἀληθὲς καὶ τὸ γεγενημένον τῆς τούτων αἰτιάσεως, καὶ ἅμα ἐγὼ ἔτι ἐπεδήμουν. ἐπειδὴ δὲ ἐγώ τε ᾠχόμην πλέων καὶ οὗτοι ἐξ ἐπιβουλῆς συνέθεσαν ταῦτα καὶ ἐμηχανήσαντο κατ' ἐμοῦ, τότε ἠτιάσαντο. λέγουσι δὲ ὡς ἐν μὲν τῇ γῇ ἀπέθανεν ὁ ἀνὴρ, κἀγὼ λίθον ἐνέβαλον [3]αὐτῷ εἰς τὴν κεφαλὴν, ὃς οὐκ ἐξέβην τὸ παράπαν ἐκ τοῦ πλοίου. καὶ τοῦτο μὲν ἀκριβῶς οὗτοι ἴσασιν· ὅπως δ' ἠφανίσθη ὁ ἀνὴρ, οὐδενὶ λόγῳ εἰκότι δύνανται ἀποφαίνειν. δῆλον [4]γὰρ ὅτι ἐγγύς που τοῦ λιμένος εἰκὸς ἦν τοῦτο γενέσθαι, τοῦτο μὲν μεθύοντος τοῦ ἀνδρὸς, τοῦτο δὲ νύκτωρ ἐκβάντος ἐκ τοῦ πλοίου· οὔτε γὰρ αὐτοῦ κρατεῖν

[1] ἄλλοθεν [2] παρίξομαι [3] αὐτῷ ἐνέβαλον [4] γάρ που ὅτι

nos illuc transmigrassemus. IDEM.

Συμπλεόντων] Qui jam antea eadem illa nave usi, illuc appulerant, quam navem nunc reliqueramus. IDEM.

Εἰδὼς] Data opera, destinato consilio. subauditur ὅτι κατ' ἐμοῦ μηνύσει. suspicor tamen post εἰδὼς deesse εἰδότα, vel potius συνειδότα. quem gnarum et conscium mei faciuneris esse scirem. IDEM.

Ἄλλοθι] Π. ἄλλοθι. H. STEPHAN. Aut cum Stephano leg. videtur, aut ἄλλοθεν οὐδαμόθεν. REISK.

ε. Ἦν ἀφανὴς] Subaudi ὄν. IDEM.

Τὴν ἀγγελίαν] Subaudi ταύτην, hanc de Herode sublato. Ad illa insequentia, οὐ γὰρ ἂν ᾠχόμην πλέων, subaudi, εἰ οὕτω ἦν τότε τοῦ φόνου με ἠτιάσαντο ἔτι ἐν τῇ Μεθυμναίων λιμένι ὄντα. IDEM.

Ἐπεδήμουν] Athenis adhuc versabar. videtur colligi sic posse, statim ab Herodis e rebus humanis excessu, quocunque modo is excessit, reum Ænum, inde Athenas, inde rursus Ænum, et sic tandem iterum Athenas revertisse, ubi necessitas causam capitis agendi ipsi imposita fuit. Potest quoque sic accipi: versabar, commorabar adhuc in insula Lesbo, aut ibi loci, ubi Herodes cœperat desiderari. Hæc interpretatio si magis probabitur, quam illa superius proposita, contorta utique, significabit ᾠχόμην πλέων, discesseram e portu Methymnæo vela faciens versus Ænum. IDEM.

Ὠχόμην πλέων] Athenis puta versus Ænum. IDEM.

Αὐτοῦ κρατεῖν] F. αὐτοῦ. TAYLOR. Cum aspero exaravi, pro leni, qui est in vulgatis. ipse semet tenere, h. e. in pedibus rectus stare, et regere corpus non poterat, ob crapulam sui compos non erat, unde

718 ἵπως ἂν ἐδύνατο, οὔτε τῷ ἀπαγαγεῖν πύκτωρ μακρὰν ὁδὸν ἡ πρόφασις ἂν εἰκότως ἐγίνετο· ζητουμένου δὲ τοῦ ἀνδρὸς δύο ἡμέρας ἐν τῷ λιμένι καὶ ἔπωθεν τοῦ λιμένος, οὔτε ὀπτὴρ οὐδεὶς ἐφάνη οὔθ' αἷμα οὔτ' ἄλλο σημεῖον οὐδέν. κἄτ' ἐγὼ συγχωρῶ τῷ [1] τούτων λόγῳ, παρεχόμενος [2] μὲν τοὺς μάρ- 35
τυρας ὡς οὐκ ἐξέβην ἐκ τοῦ πλοίου· [3] εἰ δὲ καὶ ὡς μάλιστα ἐξέβην ἐκ τοῦ πλοίου, οὐδενὶ τρόπῳ εἰκὸς ἦν ἀφανισθέντα λαθεῖν τὸν ἄνθρωπον, εἴπερ μὴ πάνυ πόρρω ἀπῆλθεν ἀπὸ τῆς θαλάσσης. ἀλλ' ὡς κατεποντώθη λέγουσιν. ἐν τίνι πλοίῳ; δῆλον γὰρ ὅτι ἐξ αὐτοῦ τοῦ λιμένος ἦν τὸ πλοῖον.
719 πῶς ἂν οὖν οὐκ ἐξευρέθη; καὶ μὴν εἰκός γε ἦν καὶ σημεῖόν τι γενέσθαι ἐν τῷ πλοίῳ ἀνδρὸς τεθνεῶτος καὶ ἐκβαλλομένου νύκτωρ. νῦν δὲ ἐν ᾧ μὲν ἔπινε πλοίῳ καὶ ἐξ οὗ ἐξέβαινεν, 40
ἐν τούτῳ φασὶν εὑρεῖν σημεῖα, ἐν ᾧ δὲ αὐτοὶ μὴ ὁμολογοῦσιν ἀποθανεῖν τὸν ἄνδρα· ἐν ᾧ δὲ κατεποντώθη, οὐχ εὗρον οὔτ' αὐτὸ τὸ πλοῖον οὔτε σημεῖον οὐδέν. τούτων δ' ὑμῖν τοὺς μάρτυρας παραστήσομαι.

ΜΑΡΤΥΡΕΣ.

ἐπειδὴ δὲ ἐγὼ φροῦδος [2] μὲν ἦν πλέων εἰς τὴν Αἶνον, τὸ δὲ πλοῖον ἦκεν εἰς τὴν Μιτυλήνην ἐν ᾧ ἐγὼ καὶ Ἡρώδης ἐπλέο- 133. 1
μεν, πρῶτον μὲν εἰσβάντες εἰς τὸ πλοῖον ἠρεύνων, καὶ ἐπειδή τι αἷμα εὗρον, ἐνταῦθα ἔφασαν τεθνάναι τὸν ἄνδρα· ἐπειδὴ δὲ αὐτοῖς τοῦτο οὐκ [4] ἐνεχώρει, ἀλλ' ἐφαίνετο τῶν προβάτων ὂν αἷμα, ἀποτραπόμενοι τούτου τοῦ λόγου συλλαβόντες ἐβασάνιζον τοὺς ἀνθρώπους. καὶ ὃν μὲν τότε παραχρῆμα ἐβασάνισαν, οὗτος μὲν οὐδὲν εἶπε περὶ ἐμοῦ φλαῦρον· 5

[1] τούτου [2] Deest μέν. [3] Desunt εἰ δὲ - - πλοίου. [4] ἐχώρει

constat eum haud procul a portu discessisse. Reisk.

Ἀπάγοντι] Subaudi αὐτόν. id est, εἴ τις ἄλλος αὐτὸν ἐβούλετο ἀπάγειν. siquis eum noctu longiuscule a navi abducere voluisset, ei nullus futurus fuisset idoneus rei praetextus. Idem.

Κἄτ' ἐγὼ συγχωρῶ] In conjunctivo, pro συγχωρήσω vel συγχωρήσαιμι. et nihilominus tamen ego concedam? illiqe mihi nihilominus tamen hoc extorquere volent, ut assentiar ipsorum fabulae, ut veram illam fatear? Egone vero ita sim stultus? tam hostis mei? tametsi testes exhibeam —. Idem.

Τεθνάναι] Scil. φανυθέντα. Idem.

Τῶν προβάτων] Articulum abesse malim, aut si servetur, subaudiendum erit, τῶν ὃ τῷ πλοίῳ καὶ ὑπὲρ αὐτοῦ ἱσφαγμένων. mactatarum in navigatione, et pro ea, quo secunda et auspicata exiret. Idem.

Τοὺς ἀνθρώπους] Quoniam sumebat orator, eos judicibus jam notos esse, nil curavit certiores eorum notas edere. Alter eorum fuit servus nescio cujus, alter ingenuus. Idem.

ὃν δ' ἡμέραις ὕστερον πολλαῖς [1]ἐβασάνισαν, ἔχοντες παρὰ σφίσιν αὐτοῖς τὸν πρόσθεν χρόνον, οὗτος ἦν ὁ πεισθεὶς ὑπὸ 720
τούτων καὶ καταψευσάμενος ἐμοῦ. παρέξομαι δὲ τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ς'. Ὡς μὲν ὕστερον τούτῳ τῷ χρόνῳ ὁ ἀνὴρ ἐβασανίσθη, μεμαρτύρηται ὑμῖν· προσέχετε δὲ τὸν νοῦν αὐτῇ τῇ βασάνῳ, οἵα γεγένηται. ὁ μὲν γὰρ δοῦλος ᾧ ἴσως οὗτοι τοῦτο μὲν ἐλευθερίαν ὑπέσχοντο, τοῦτο δ' ἐπὶ τούτοις ἦν παύσασθαι κακούμενον αὐτόν, ἴσως ὑπ' ἀμφοῖν πεισθεὶς κατεψεύσατό μου, τὴν μὲν ἐλευθερίαν ἐλπίσας οἴσεσθαι, τῆς δὲ βασάνου εἰς τὸ παραχρῆμα βουλόμενος ἀπηλλάχθαι. οἶμαι δ' ὑμᾶς ἐπίστασθαι τοῦτο, ὅτι ἐφ' οἷς ἂν τὸ πλεῖστον μέρος τῆς βασάνου, πρὸς τούτων εἰσὶν οἱ βασανιζόμενοι λέγειν ὅ τι 721
ἂν ἐκείνοις μέλλωσι χαριεῖσθαι· ἐν τούτοις γὰρ αὐτοῖς ἐστὶν ἡ ὠφέλεια, ἄλλως τε κἂν μὴ παρόντες τυγχάνωσιν ὧν ἂν καταψεύδωνται. εἰ γὰρ ἐγὼ ἐκέλευον αὐτὸν στρεβλοῦν ὡς οὐ ταληθῆ λέγοντα, ἴσως ἂν ἐν αὐτῷ τούτῳ ἀπετρέπετο μηδὲν κατ' ἐμοῦ καταψεύδεσθαι· νῦν δὲ αὐτοὶ ἦσαν

[1] ἐβασάνισαν

Ἐβάσάνισαν] F. ἐτυμπάνισαν. TAYLOR. Id est, κατατήλωσαν βασανίζοντες. quem tormentis pene absumserunt, h. e. tam dirum et horribilem in modum torserunt, ut, quasi belua quædam, carnes ejus dilaniarent; et enormitate cruciatuum hominem propemodum enecarent; quem in custodia penes se habuerant, et acribus vigiliis septum caverant, ne qua elaberetur, longinquo temporis intervallo, quod effluxit ab appulsu navis illius, in qua reus cum Herode vectus fuerat, ad Mitylenam, usque ad illud tempus quo servus torquebatur. REISK.

Καὶ καταψευσάμενος] Καὶ videtur hinc in versum tertium, proximum subjectum, deducendum esse, ad hunc modum: οὗτος ὁ, πεισθεὶς ὑπὸ τούτων, καταψευσάμενος ἐμοῦ. *hic falso me indicavit, ab his persuasus.* cohærebit sic articulus ὁ, non cum proximo πεισθεὶς, sed cum remotiore καταψευσάμενος. quasi sic dixisset: οὗτος ἐμοῦ κατεψεύσατο, διὰ τὸ πεισθῆναι ὑπὸ τούτων. Tum pergit: παρέξομαι δὲ καὶ τούτων τοὺς μάρτυρας. *præstabo horum quoque testes,* prout superius expositarum exhibui. IDEM.

ς'. Τούτῳ τῷ χρόνῳ] Malim aut ὕστερον τούτου συχνῷ χρόνῳ, aut ὕστερον τοσούτῳ χρόνῳ. IDEM.

Ἴσως ὑπ'] Post ἴσως deest copula δ' aut δή. IDEM.

Πλεῖστον] Post πλεῖστον addendum, aut certe subaudiendum est ᾖ. IDEM.

Πρὸς τούτων] Id est, κατὰ τὴν τούτων γνώμην. Ita vero si interpreteris, necesse est, ut ante vel post λέγειν desit ἕτοιμοι. parati sunt ex horum sententia loqui ea, quæ—. Sin autem probabile minus sit, ἕτοιμοι addi oportere, tum πρὸς τούτων εἰσὶν οἱ βασανιζόμενοι significabit, illis favent torti, cum illis faciunt, in eorum partem vergunt; et tum λέγειν accipi debet pro ὥστε λέγειν. quo fit ut proloquantur ea—. IDEM.

Ἐν τούτοις] Dubium est sitne masculini, an neutrius generis. Si neutrius generis est, debet accipi pro ἐν τούτῳ. in hoc enim, si nempe ea dicant, quibus gratificentur iis, penes quos potestas est torquenda aut intendendi, aut remittendi, —. Sin autem masculinum est τούτοις h. l., significabit ἐν, idem atque παρὰ, penes eos. ἐν τῷ τούτων κράτει. ἐν τῇ τούτων χειρὶ καὶ βουλῇ. IDEM.

καὶ βασανισταὶ καὶ ἐπιτιμηταὶ τῶν σφίσιν αὐτοῖς συμφερόντων. ἕως μὲν οὖν μετὰ χρηστῆς τῆς ἐλπίδος ἐγίνωσκέ μου καταψευσάμενος, τούτῳ διϊσχυρίζετο τῷ λόγῳ· ἐπειδὴ δὲ ἐγίνωσκεν ἀποθανούμενος, ἐνταῦθ' ἤδη τῇ ἀληθείᾳ ἐχρῆτο, καὶ ἔλεγεν ὅτι πεισθείη ὑπὸ τούτων ἐμοῦ καταψεύδεσθαι. διαπειραθέντα δ' αὐτὸν τὰ ψευδῆ λέγειν, ὕστερον δὲ τἀληθῆ
722 λέγοντα, οὐδέτερα ὠφέλησαν, ἀλλ' ἀπέκτειναν ἄγοντες τὸν ἄνδρα τὸν μηνυτήν, ᾧ πιστεύοντες ἐμὲ διώκουσι, τοὐναντίον ποιήσαντες ἢ οἱ ἄλλοι ἄνθρωποι. οἱ μὲν γὰρ ἄλλοι τοῖς μηνυταῖς τοῖς μὲν ἐλευθέροις χρήματα διδόασι, τοὺς δὲ δούλους ἐλευθεροῦσιν· οὗτοι δὲ θάνατον τῷ μηνυτῇ τὴν δωρεὰν ἀπέδοσαν, ἀπαγορευάντων τῶν φίλων τῶν ἐμῶν μὴ ἀποκτείνειν τὸν ἄνδρα πρὶν ἂν ἐγὼ ἔλθοιμι. δῆλον οὖν ὅτι οὐ τοῦ σώματος αὐτοῦ χρεία ἦν αὐτοῖς, ἀλλὰ τῶν λόγων. ζῶν μὲν γὰρ ὁ ἀνὴρ διὰ τῆς αὐτῆς βασάνου ἰὼν ὑπ' ἐμοῦ κατήγορος ἂν ἐγίνετο τῆς τούτων ἐπιβουλῆς· τεθνεὼς δὲ τὸν μὲν ἔλεγχον τῆς ἀληθείας ἀπεστέρει δι' αὐτοῦ τοῦ σώματος ἀπολλυμένου, τοῖς δὲ λόγοις τοῖς ἐψευσμένοις ὑπ' ἐκείνου ὡς ἀληθέσιν οὖσιν ἐγὼ ἀπόλλυμαι. τούτων δὲ μάρτυράς μοι κάλει. ἐχρῆν μὲν γὰρ αὐτούς, ὡς ἐγὼ νομίζω, ἐνθάδε παρέχοντας τὸν μηνυτὴν αὐτὸν ἀπελέγχειν ἐμέ, καὶ αὐτῷ τούτῳ χρῆσθαι ἀγωνίσματι, ἐμφανῆ παρέχοντας τὸν ἄνδρα
723 καὶ κελεύοντας βασανίζειν, ἀλλὰ μὴ ἀποκτεῖναι. φέρε γὰρ δὴ ποτέρῳ [1] νῦν χρήσονται τῶν λόγων; πότερα ᾧ πρῶτον

[1] Deest νῦν.

Ἐπιτιμηταί] Videtur hoc vocabulum h. l. raro modo usurpatum esse, pro ἐπιτάκται, imperantes, præcipientes. qui torquent, iidem quoque præscribunt, quæ volunt a tortis edi. IDEM.

Χρηστῆς τῆς ἐλπίδος] Malim articulum abesse. IDEM.

Καταψευσάμενος] Malim in futuro. καταψευσόμενος legi, idem est, ac si dixisset, ἐγίνωσκεν ὅτι καταψεύσεται, vel, in optativo futuri, καταψεύσοιτο. certo sciebat se mendacium in fraudem meam, e re sua, cum emolumento quodam suo, esse dicturum. IDEM.

Ὠφέλησαν] Imo vero ὠφέλησεν in singulari. IDEM.

Ἄγοντες] Aut ἀπάγοντες leg. scil. τὸν ἐπὶ θανάτῳ ὄλεθρον, aut ἄγχοντες. fauces reste injecto elidentes. IDEM.

Τὸν μηνυτὴν] Grave verbum h. l. nemo sanus et causa sua fidens, indicem sustulerit, ea testatum, quæ iste imprimis indicari capiat, et quo ad judices adducendo adversarium percellere, causamque suam firmare, quam maxime possit. ecquis ultro pugionem abjiciat, quo possit hostem confodere? IDEM.

Δι' αὐτοῦ τοῦ σώματος ἀπολλυμένου] Fero, sed sic ut αὐτῷ cum aspero exaretur, illique voci comma addatur. veritatem demonstratione fraudabat per semet, quippe cujus corpus peribat. Exiret tamen sententia si fallor aliquanto elegantior, si sic legeretur, δι' αὐτοῦ, τῷ σώματι συναπολλυμένῳ, ut hic accusativus ad ἔλεγχον redeat. quæ demonstratio una cum ipso corpore, unde illa peti poterat, peribat. Possit quoque legi: ἀπεστέρει ἐμὲ διὰ τοῦ σώματος ἀπολλυμένου. IDEM.

Κάλει] Post κάλει videtur titulus ΜΑΡΤΥΡΕΣ deesse. IDEM.

εἶπεν, ἢ ᾧ ὕστερον; καὶ πότερ' ἀληθῆ ἐστὶν, ὅτ' ἔφη με εἰργάσθαι τὸ ἔργον, ἢ ὅτ' οὐκ ἔφη; εἰ μὲν γὰρ ἐκ τοῦ εἰκότος ἐξετασθῆναι δεῖ τὸ πρᾶγμα, οἱ ὕστεροι λόγοι ἀληθέστεροι φαίνονται. ἐψεύδετο μὲν γὰρ ἐπ' ὠφελείᾳ τῇ ἑαυτοῦ· ἐπειδὴ δὲ [1] τῷ ψεύδεσθαι ἀπώλλυτο, ἡγήσατο τἀληθῆ κατειπὼν διὰ τούτου σωθῆναι ἄν. τῆς μὲν οὖν ἀληθείας οὐκ ἦν αὐτῷ τιμωρὸς οὐδείς· οὐ γὰρ παρὼν ἐγὼ ἐτύγχανον, ᾧπερ σύμμαχος ἦν ἡ ἀλήθεια τῶν ὑστέρων λόγων· τοὺς δὲ προτέρους λόγους τοὺς κατεψευσμένους ἦσαν οἱ ἀφανιοῦντες, ὥςτε μηδέποτε εἰς τὸ ἀληθὲς καταστῆναι. καὶ οἱ μὲν ἄλλοι καθ' ὧν μηνύῃ ἄν τις, αὐτοὶ κλέπτουσι τοὺς μηνύοντας,
134. 1 κᾆτα ἀφανίζουσιν· αὐτοὶ δὲ οὗτοι οἱ ἀπάγοντες καὶ ζητοῦντες τὸ πρᾶγμα τὸν κατ' ἐμοῦ μηνυτὴν ἠφάνισαν. καὶ εἰ μὲν ἐγὼ τὸν ἄνδρα ἠφάνισα ἢ μὴ ἤθελον ἐκδοῦναι τούτοις 724
ἢ ἄλλον τινὰ ἔφευγον ἔλεγχον, αὐτοὶ δὴ τούτοις ἰσχυροτάτοις εἰς τὰ πράγματα ἐχρῶντο, καὶ ἦν ταῦτα αὐτοῖς μέγιστα τεκμήρια κατ' ἐμοῦ· νῦν δὲ, ὁπότε αὐτοὶ οὗτοι προκαλουμένων τῶν φίλων τῶν ἐμῶν ταῦτ' ἔφυγον, ἐμοὶ δήπου κατὰ τούτων εἶναι χρὴ ταῦτα τὰ τεκμήρια, ὡς οὐκ ἀληθῆ τὴν αἰτίαν ἐπέφερον, ἣν ᾤοντο.

ζ'. Ἔτι δὲ καὶ τάδε λέγουσιν, ὡς ὡμολόγει ὁ ἄνθρωπος βασανιζόμενος συναποκτεῖναι τὸν ἄνδρα. ἐγὼ δέ φημι ταῦτα μὲν οὐ λέγειν αὐτόν· ὅτι δὲ ἐξάγοι ἐμὲ καὶ τὸν ἄνδρα ἐκ τοῦ πλοίου, καὶ ὅτι ἤδη τεθνεῶτα αὐτὸν ὑπ' ἐμοῦ ἐνθεὶς εἰς τὸ πλοῖον καταποντώσειε. καίτοι σκέψασθε ὅτι πρῶτον μὲν, πρὶν ἐπὶ τὸν τροχὸν ἀναβῆναι, ὁ ἀνὴρ μέχρι τῆς ἐσχάτης ἀνάγκης τῇ ἀληθείᾳ ἐχρῆτο καὶ ἀπέλυέ με τῆς αἰτίας· ἐπειδὴ δὲ ἐπὶ τὸν τροχὸν ἀνέβη, τῇ ἀνάγκῃ χρώμενος ἤδη κατεψεύδετό μου, βουλόμενος ἀπηλ-

[1] Deest τῷ.

Ψεύδεσθαι] Π. διὰ τοῦ ψεύδεσθαι. H. Stephan. Maxime verosimile mihi videtur post ψεύδεσθαι deesse v. διαπειραθείς. v. p. 96. v. 6. Reisk.

Ἦσαν] Post ἦσαν adde, seu mavis tacita cogitatione, seu literis expressis, οὗτοι αὐτοί. Idem.

Καταστῆναι] Subaudi αὐτοὺς [scil. τοὺς λόγους] αὐτοῖς. Idem.

Αὐτοὶ] Melius conveniret οὗτοι. quod eleganter redundabit. potest enim oratio vel sine eo salva et integra esse. Sed αὐτοὶ prorsus omni vi caret. Idem.

Ἀπάγοντες] Scil. ἐμὲ εἰς τὸ δεσμωτήριον. τῇ ἀπαγωγῇ κατ' ἐμοῦ χρησάμενοι. Idem.

ζ'. Τῇ ἀνάγκῃ χρώμενος] Potest ferri, pro τ. ἀ. περιπεσών. et speciem nonnullam probabilitatis ei addit præmissum τῇ ἀληθείᾳ χρώμενος. cui hoc videri possit ex adverso oppositum. dura tamen meis quidem auribus meoque stomacho hæc

λάχθαι τῆς βασάνου· ἐπειδὴ δὲ ἐπαύσατο βασανιζόμενος, οὐκέτι ἔφη με τούτων εἰργάσθαι οὐδέν, ἀλλὰ τὸ τελευταῖον [1] ἀπώμοξεν ἐμέ τε καὶ αὐτὸν ὡς ἀδίκως ἀπολλυμένους, οὐ χάριτι τῇ ἐμῇ — πῶς γάρ; ὅς γε κατεψεύσατο —, ἀλλ' ἀναγκαζόμενος ὑπὸ τοῦ ἀληθοῦς καὶ βεβαιῶν τοὺς πρώτους λόγους ὡς ἀληθεῖς εἰρημένους. ἔπειτα δὲ ὁ ἕτερος ἄνθρωπος, ἐν τῷ αὐτῷ πλοίῳ πλέων καὶ παρὼν διὰ τέλους καὶ συνών μοι, τῇ αὐτῇ βασάνῳ βασανιζόμενος, τοῖς μὲν πρώτοις καὶ τοῖς ὕστερον λόγοις τοῖς τοῦ ἀνθρώπου συνεφέρετο ὡς ἀληθέσιν οὖσι —διὰ τέλους γάρ με ἀπέλυε—, τοῖς δ' ἐπὶ τοῦ τροχοῦ λεγομένοις, οὓς ἐκεῖνος ἀνάγκῃ μᾶλλον ἢ ἀληθείᾳ ἔλεγε, τούτοις δὲ διεφέρετο. ὁ μὲν γὰρ ἐκβάντα [2] με ἔφη ἐκ τοῦ πλοίου ἀποκτεῖναι τὸν ἄνδρα, καὶ αὐτὸς ἤδη τεθνεῶτα συνανελεῖν μοι· ὁ δὲ τὸ παράπαν ἔφη οὐκ ἐκβῆναί με ἐκ τοῦ πλοίου. καίτοι τὸ εἰκὸς σύμμαχόν μοι ἐστίν. οὐ γὰρ δήπου οὕτω κακοδαίμων ἐγώ, ὥστε τὸ μὲν ἀποκτεῖναι τὸν ἄνδρα προυνοησάμην μόνος, ἵνα μοι μηδεὶς συνειδείη, ἐν ᾧ μοι ὁ πᾶς κίνδυνος ἦν· ἤδη δὲ πεπραγμένου μοι τοῦ ἔργου μάρτυρας καὶ συμβούλους ἐποιούμην. καὶ ἀπέθανε μὲν ἀνὴρ οὑτοσὶ ἐγγὺς τῆς θαλάσσης καὶ τῶν πλοίων, ὡς ὁ τούτων λόγος ἐστίν· ὑπὸ δὲ ἑνὸς ἀνδρὸς ἀποθνήσκων οὔτ' ἀνέκραγεν οὔτ' αἴσθησιν οὐδεμίαν ἐποίησεν οὔτε τοῖς ἐν τῇ γῇ οὔτε τοῖς ἐν τῷ πλοίῳ; καὶ μὴν πολλῷ πλέον γε ἀγνοεῖν ἔστι νύκτωρ ἢ μεθ' ἡμέραν, ἔτ' ἀκτῆς ἢ κατὰ πόλιν· καὶ μὴν ἔτι ἐγρηγορότων φασὶν ἐκβῆναι τὸν ἄνδρα ἐκ τοῦ πλοίου. ἔπειτα ἐν τῇ γῇ μὲν ἀποθανόντος, ἐντιθεμένου δὲ εἰς τὸ πλοῖον, οὔτε ἐν τῇ γῇ σημεῖον οὐδὲ αἷμα ἐφάνη οὔτε ἐν τῷ πλοίῳ, νύκτωρ μὲν ἀναιρεθέντος, νύκτωρ [3] δ' ἐντιθε-

[1] ἀπώμοσεν [2] ἔφη με [3] δὲ τιθεμένου

cum sit dictio, malim τῆς ἀνάγκης ἡττώμενος τότ' ἤδη. IDEM.

Ὑστέροις] Id est, τοῖς μετὰ τὸν τροχὸν εἰρημένοις. malim tamen ὑστάτοις legi. *posterioribus*, pro *postremis*. IDEM.

Ἀγνοεῖν] h. l. est, ἀγνοίᾳ ἁμαρτάνειν, errore, imprudentia labi. non cavere aliquid, cujus te postmodum facti pœniteat, cum corrigere jam non amplius liceat. ut, si, ut hoc utar, qui aliquem interemerit, is cruorem abstergere a manibus, gladiove aut vestibus, sive oblitus sit, sive nil curarit. Hoc est ἀγνόημα, quod capitale jam haud paucis fuit. Ejusmodi lapsus, ait sophista, multo crebriores evenire de nocte, quam de die; quia de die facilius maculas cruoris sparsi observamus; item in litore orebrius sic peccari, quam in urbe. quia in litore deserto carendum est necessario non paucis cautelæ adminiculis, quibus urbes abundant; quo pertinent instrumenta peremtum tumulandi, aliisve modis conspectui hominum subducendi, notasque cædis obliterandi. IDEM.

Δὲ τιθεμένου] Malim δ' ἐντιθ. ut modo

μένου εἰς τὸ πλοῖον. ἢ δοκεῖ ἂν ὑμῖν ἄνθρωπος δύνασθαι ἐν
35 τοιούτῳ πράγματι ὢν τά τ' ἐν τῇ γῇ ὄντα ἀναξύσαι καὶ
τὰ ἐν τῷ πλοίῳ ἀποσπογγίσαι, ἃ οὐδὲ μεθ' ἡμέραν τις
οἷός τ' ἐγένετο, ἔνδον ὢν αὐτοῦ καὶ μὴ πεφοβημένος, τὸ
παράπαν ἀφανίσαι; ταῦτα, [1] ὦ ἄνδρες, πῶς εἰκότα ἐστίν;
ὃ δὲ καὶ μάλιστα δεῖ ἐνθυμεῖσθαι, —καὶ μή μοι ἄχθεσθε,
ἂν ὑμᾶς πολλάκις ταὐτὰ διδάξω· μέγας γὰρ ὁ κίνδυνός
ἐστι, καθ' ὅ τι δ' ἂν ὑμεῖς ὀρθῶς γνῶτε, κατὰ τοῦτο σώ- 727
40 ζομαι, καθ' ὅ τι δ' ἂν ψευσθῆτε τἀληθοῦς, κατὰ τοῦτο
ἀπόλλυμαι. μὴ οὖν ἐξέληται τοῦτο ὑμῶν μηδείς, ὅτι
τὸν μηνυτὴν ἀπέκτειναν, καὶ διετείναντο αὐτὸν μὴ εἰσελ-
θεῖν εἰς ὑμᾶς, μηδ' ἐμοὶ ἐγγενέσθαι παρόντι ἄξαι τὸν ἄν-
δρα καὶ βασανίσαι αὐτόν. καίτοι πρὸς τούτων ἦν τοῦτο. νῦν
δὲ πριάμενοι τὸν ἄνδρα, ἰδίᾳ ἐπὶ σφῶν αὐτῶν ἀπέκτειναν
τὸν μηνυτήν, οὔτε τῆς πόλεως ψηφισαμένης, οὔτε αὐτόχειρα
135. 1 ὄντα τοῦ ἀνδρὸς, ὃν ἐχρῆν δεδεμένον αὐτοὺς φυλάσσειν, ἢ
τοῖς φίλοις τοῖς ἐμοῖς [2] ἐξεγγυῆσαι, ἢ τοῖς ἄρχουσι τοῖς
ὑμετέροις παραδοῦναι καὶ ψῆφον περὶ αὐτοῦ γενέσθαι. νῦν
δὲ αὐτοὶ καταγνόντες τὸν θάνατον τοῦ ἀνδρὸς ἀπεκτείνατε·
ὃ οὐδὲ πόλει ἔξεστιν, ἄνευ Ἀθηναίων οὐδένα θανάτῳ ζη-
5 μιῶσαι. καὶ τῶν μὲν ἄλλων λόγων τῶν ἐκείνου τουτουσὶ
κριτὰς ἠξιώσατε γενέσθαι, τῶν δὲ ἔργων αὐτοὶ δικασταὶ
γίνεσθε. καίτοι οὐδὲ οἱ τοὺς δεσπότας ἀποκτείναντες, ἐὰν
ἐπ' αὐτοφώρῳ ληφθῶσιν, οὐδ' οὗτοι θνήσκουσιν ὑπ' αὐτῶν
τῶν προσηκόντων, ἀλλὰ παραδιδόασιν αὐτοὺς τῇ ἀρχῇ 728
κατὰ νόμους ὑμετέρους πατρίους. εἴπερ γὰρ καὶ μαρτυρεῖν

[1] πῶς εἰκότα, ὦ ἄνδρες,

[2] ἐγγυῆσαι

præcesserat. IDEM.

Γῇ ὄντα] Si necesse est, feremus, ut alia multa cruda et incondita. Mihi tamen credibilius est Antiphontem sic reliquisse: ὂν τῇ γῇ ἔχτα [scil. τοῦ φόνου] πάντα ἀναξύσαι. IDEM.

Καθ' ὅ,τι δ' ἂν] Pro δὲ sententia postulat γάρ. IDEM.

Παρόντι] Malim παριόντι. prodeunti ad vos. IDEM.

Οὐδὲ πόλει ἔξεστιν ἄνευ Ἀθηναίων] Notabilis locus, unde colligatur, nulli civitati earum, quæ in societate Atheniensium essent, licuisse, Atheniensibus inscitis et invitis, quemquam extremo supplicio afficere. IDEM. Petitus in Comment. in LL. Attic. l. vii. tit. i. §. v. ita supplet locum: ὃ οὐδὲ πόλει ἔξεστιν ἄνευ ψήφου, Ἀθηναίων &c.

Γίνεσθε] Malim ἐγίνεσθε in imperfecto. REISK.

Παραδιδόασι αὐτοὺς] Scil. οἱ προσήκοντες τῶν δεσποτῶν τῶν φονευθέντων τοὺς δούλους τοὺς φονεύσαντας. IDEM.

Τῇ ἀρχῇ] Post ἀρχῇ videtur κολασθῆναι deesse. IDEM.

Μαρτυρεῖν] Τὸν φόνον κατά τινος μαρτυρεῖν, videtur esse, testimonio suo coram judicibus prodere atque confirmare, cædem ab aliquo esse commissam. [Malim sic interpungi et legi: καὶ μαρτυρεῖν ἔξεστι δούλῳ κατὰ τοῦ ἐλευθέρου, καὶ τὸν φόνον [scil.

ἔξεστι δούλῳ κατὰ τοῦ ἐλευθέρου τὸν φόνον, καὶ τῷ δεσπότῃ, ἂν δοκῇ, ἐπεξελθεῖν ὑπὲρ τοῦ δούλου, καὶ ἡ ψῆφος ἴσον δύναται τῷ δοῦλον ἀποκτείναντι καὶ [1]τῷ ἐλεύθερον, εἰκός τοι καὶ ψῆφον γενέσθαι περὶ αὐτοῦ ἦν, καὶ μὴ ἄκριτον ἀποθανεῖν αὐτὸν ὑφ' ὑμῶν. ὥστε πολλῷ ἂν ὑμεῖς δικαιότερον κρίνοισθε ἢ ἐγὼ νῦν [2]φεύγω ὑφ' ὑμῶν ἀδίκως.

ἡ. Σκοπεῖτε δὲ, ὦ ἄνδρες, καὶ ἐκ τοῖν λόγοιν τοῖν ἀνδροῖν ἑκατέροιν τοῖν βασανισθέντοιν τὸ δίκαιον καὶ τὸ εἰκός. ὁ μὲν γὰρ δοῦλος δύο λόγω ἔλεγε· τοτὲ μὲν ἔφη με εἰργάσθαι τὸ ἔργον, τοτὲ δὲ οὐκ ἔφη· ὁ δὲ ἐλεύθερος οὐδέπω νῦν εἴρηκε περὶ ἐμοῦ φλαῦρον οὐδέν, τῇ αὐτῇ βασάνῳ βασανιζόμενος· τοῦτο μὲν γὰρ οὐκ ἦν αὐτῷ ἐλευθερίαν [3]προτείναντας ὥσπερ τὸν ἕτερον πεῖσαι, τοῦτο δὲ μετὰ τοῦ ἀληθοῦς ἐβούλετο κινδυνεύων πάσχειν εἴ τι δέοι, ἐπεὶ τό γε συμφέρον καὶ οὗτος ἠπίστατο, ὅτι τότε παύσαιτο στρεβλούμενος, ὁπότε εἴποι τὰ τούτοις δοκοῦντα. ποτέρῳ οὖν εἰκός ἐστι πιστεῦσαι, τῷ διὰ τέλους τὸν αὐτὸν λόγον ἀεὶ λέγοντι, ἢ τῷ τοτὲ μὲν φάσκοντι τοτὲ δ' οὔ; ἀλλὰ καὶ ἄνευ βασάνου τοιαύτης οἱ τοὺς αὐτοὺς αἰεὶ περὶ τῶν αὐτῶν λόγους λέγοντες πιστότεροί εἰσι τῶν διαφερομένων σφίσιν αὐτοῖς. ἔπειτα δὲ καὶ ἐκ τῶν λόγων τῶν τοῦ ἀνθρώπου μερὶς ἑκατέρῳ ἴση ἐστὶ, τούτοις μὲν τὸ φάσκειν, ἐμοὶ δὲ τὸ μὴ φάσκειν, ἔκ τε ἀμφοῖν τοῖν ἀνδροῖν τοῖν βασανισθέντοιν· ὁ μὲν γὰρ ἔφησεν, ὁ δὲ

[1] τὸν [2] Deest φεύγω. [3] προτείναντι

ἔξεστι] τῷ δεσπότῃ, ἂν δοκῇ, [scil. αὐτῷ] ἐπεξελθεῖν ὑπὲρ τοῦ δούλου. si tantum, ait, servis defertur a legibus reip. nostræ, ut iis liceat adversus ingenuos testari, item, si quis servus interemtus fuerit a cive, eumque civem illa de servi sui cæde in jus vocare voluerit herus ejus, ut id illi liceat: neque leniori pœna homicida servi, quam ingenui, afficiatur: consentaneum fuerat etiam hoc de servo legitimum judicium haberi. *In Arcess. ad suæ Antiph.*] IDEM.

Ὑπὲρ τοῦ δούλου] Subaudi τοῦ φονευθέντος. IDEM.

Καὶ τὸν ἐλεύθερον] Pro accus. articuli τὸν malim dativum τῷ. καὶ τῷ ἐλεύθερον scil. ἀποκτείναντι. ut modo τῷ δοῦλον. IDEM.

Αὐτοῦ] Illo de servo, quem vos, adversus me testatum, de medio sustulistis. IDEM.

ἡ. Τοτὲ μὲν] Adde γάρ. IDEM.

Τῇ αὐτῇ βασάνῳ βασανιζόμενος] Scil. ᾗ ὁ δοῦλος ἐβασανίζετο. sed num ingenui rotæ imponebantur? IDEM.

Προτείναντι] Imo vero προτείναντας, scil. ὑμᾶς. vos non poteratis eum adducere, spe libertatis ostendenda. IDEM.

Ἑκατέρῳ] Scil. ἡμῶν. utrique nostrum, tam mihi, quam adversariis. IDEM.

Τοῖν βασανισθέντοιν] Verba hæc cum circumjectis sententiam prorsus eandem produnt, atque prius membrum. Sed liquet sophisma hic queri; ego nullus debito leg. esse: ἐκ τε ἀμφοῖν τοῖν ἀνδροῖν τοῖν βασανισθέντοιν ἡμοὶ μερὶς πρόσεστιν. ὁ μὲν γὰρ τοτὲ μὲν ἔφασκε, τοτὲ δ' οὐκ ἔφασκεν· ὁ δὲ διὰ τέλους ἔλεγεν ἦν. Ambo nos, ait, ego et adversarii mei, partimur hos in causa nostra tortos; sed partimur eos portione non pari. Nam portio mea major est, quam illorum. Duorum enim testium, repugnantia sibi testatorum, alterum ego

διὰ τέλους ἔξαρνος ἦν. καὶ μὲν δὴ τὰ ἐξ ἴσου γενόμενα τοῦ φεύγοντός ἐστι μᾶλλον ἢ τοῦ διώκοντος, εἴπερ γε καὶ τῶν ψήφων ὁ ἀριθμὸς ἐξ ἴσου γενόμενος τὸν φεύγοντα μᾶλλον ὠφελεῖ ἢ τὸν διώκοντα.

Θ'. Ἡ μὲν βάσανος, ὦ ἄνδρες, τοιαύτη ἐγένετο, ἣ οὗτοι πιστεύοντες εὖ εἰδέναι φασὶν ὑπ' ἐμοῦ ἀποθανόντα τὸν ἄνδρα. καίτοι τὸ παράπαν ἔγωγ' ἂν εἴ τι συνῄδειν ἐμαυτῷ, καὶ εἴ τι [1] ἐμοὶ τοιοῦτον εἴργαστο, ἠφάνισ' ἂν τὼ ἀνθρώπω, ὅτε ἐπ' ἐμοὶ ἦν τοῦτο μὲν εἰς τὴν Αἶνον ἀπάγειν ἅμα ἐμοί, τοῦτο δὲ εἰς τὴν ἤπειρον διαβιβάσαι, καὶ μὴ ὑπολείπεσθαι μηνυτὰς κατ' ἐμαυτοῦ τοὺς συνειδότας. φασὶ δὲ γραμματίδιον εὑρεῖν ἐν τῷ πλοίῳ, ὃ ἔπεμψον ἐγὼ Λυκίνῳ, ὡς ἀποκτείναιμι τὸν ἄνδρα. καίτοι τί ἔδει με γραμματίδιον πέμψειν, αὐτοῦ συνειδότος τοῦ τὸ γραμματίδιον φέροντος; ὥστε τοῦτο μὲν σαφέστερον αὐτοῖς ἔμελλεν ἐρεῖν ὁ εἰργασμένος, τοῦτο δὲ οὐδὲν ἔδει κρύπτειν αὐτόν· ἃ γὰρ [2] μὴ οἷόν τε εἰδέναι τὸν φέροντα, ταῦτ' ἂν τις μάλιστα [3] συγγράψας πέμψειεν. ἔπειτα δὲ, ὅ τι μὲν μακρὸν εἴη πρᾶγμα, τοῦτο ἄν τις ἀναγκασθείη γράψαι τῷ μὴ διαμνημονεύειν τὸν ἀπαγγέλλοντα ὑπὸ πλήθους· τοῦτο δὲ βραχὺ ἦν ἀπαγγεῖλαι, ὅτι τέθνηκεν ὁ ἀνήρ. ἔπειτα ἐνθυμεῖσθε, ὅτι διαφέρον ἦν τὸ γραμματίδιον τῷ βασανισθέντι, διάφορος δ' ὁ ἄνθρωπος τῷ γραμματίῳ· ὁ μὲν γὰρ βασανιζόμενος αὐτὸς ἔφη ἀποκτεῖναι, τὸ δὲ γραμμάτιον ἀνοιχθὲν ἐμὲ τὸν ἀποκτείναντα [4] ἐμήνυε. καίτοι ποτέρῳ χρὴ πιστεῦσαι; τὸ μὲν γὰρ πρῶ- 731

[1] Deest *ἐμοί*. [2] Deest *μή*. [3] *συγγράψειεν*. ἴσως. [4] *ἐμήνυεν*.

cum adversariis communem ex dimidio habeo. nam qui me cædis insimularat, is idem me rursus eodem ore cædis absolvit. in hoc ergo *μοῖρ* nostra est ἴση. At in altero illo, qui constanter negavit me homicidam esse, ego συλλειπτὰ. portio mea est melior et potior. nam hanc ego solus possideo, illi nihil ejus participant. Atqui (*καὶ μὴν δὴ*) pergit actor, etiamsi ego, οὐδὲν ἐλλειπόντων ἴσα τῶν μαρτύρων, ratione testium nullo modo adversariis præstarem, quibus utique præsto, sed æqualia prorsus essent utrinque momenta, ego tamen vel sic quoque potior essem jure. Nam in æqualitate momentorum semper in favorem reorum pronunciatur. IDEM.

Τῷ φεύγοντι] Id est, *μοῖρ τοῦ φεύγοντος*.

IDEM.

Θ'. Ὥστι τοῦτο μὲν σαφέστερον] Malim sic legi: ὃ γε [Lycino puta] *σαφέστερον αὐτὸς* [in nominat. singul.] ἔμελλεν. redit *αὐτὸς* ad facinoris conscium, perlatorem literarum, ad quem eundem proximum quoque *αὐτὸν* redit. IDEM.

Οἷόν τε] Imo vero *οὐχ οἷόν τε*, nequit scire, vel, non licet, ut ejus scientiæ committatur, breviter, *non debet* scire, quæ eum nescire e re nostra est. IDEM.

Διαφέρον] Malim *διάφορον*, ut statim post. IDEM.

Τῷ βασανισθέντι] Id est, *τῇ μπύσει τοῦ βασανισθέντος*. IDEM.

Γραμματίῳ] Videtur aut *γραμματείῳ* per diphthongum præstare, aut *γραμματιδίῳ*. IDEM.

τον οὐχ εὗρον ἐν τῷ πλοίῳ ζητοῦντες τὸ γραμματίδιον, ὕστερον δέ. τότε μὲν γὰρ οὔπω οὕτως ἐμεμηχάνητο αὐτοῖς· ἐπειδὴ δὲ ὁ ἄνθρωπος ὁ πρότερον Σασανισθεὶς οὐδὲν ἔλεγε κατ' ἐμοῦ, τότε εἰσβάλλουσιν εἰς τὸ πλοῖον τὸ γραμματίδιον, ἵνα ταύτην ἔχοιεν ἐμοὶ τὴν αἰτίαν ἐπιφέρειν· ἐπειδὴ δ' 136. 1
[1] ἀνεγνώσθη τὸ γραμματίδιον καὶ ὁ ὕστερος βασανιζόμε-
732 νος οὐ συνεφέρετο τῷ γραμματιδίῳ, οὐκ ἔθ' οἷόν τ' ἦν ἀφανίσαι τὰ ἀναγνωσθέντα. εἰ γὰρ ἠγήσαντο τὸν ἄνδρα πείσειν ἀπὸ πρώτης καταψεύδεσθαί μου, οὐκ ἄν ποτ' ἐμηχανήσαντο τὰ ἐν τῷ γραμματιδίῳ. καί μοι μάρτυρας τούτων κάλει.

ΜΑΡΤΥΡΕΣ.

ί. Τίνος γε δὴ ἕνεκα τὸν ἄνδρα ἀπέκτεινα; οὐδὲ γὰρ ἔχθρα οὐδεμία ἦν ἐμοὶ καὶ ἐκείνῳ. λέγειν δὲ τολμῶσιν ὡς ἐγὼ χάριτι τὸν ἄνδρα ἔκτεινα. καὶ τίς πώποτε χαριζόμενος ἑτέρῳ τοῦτο εἰργάσατο; οἶμαι [2] μὲν γὰρ οὐδένα· ἀλλὰ δεῖ μεγάλην τὴν ἔχθραν ὑπάρχειν τῷ τοῦτο μέλλοντι ποιήσειν, καὶ τὴν πρόνοιαν ἐκ πολλῶν εἶναι φανερὰν ἐπιβουλευομένην. ἐμοὶ δὲ κἀκείνῳ οὐκ ἦν ἔχθρα οὐδεμία. ἀλλὰ χρήματα ἔμελλον λήψεσθαι ἀποκτείνας αὐτόν; ἀλλ' οὐκ ἦν αὐτῷ. [3] εἶεν· ἀλλὰ δείσας περὶ ἐμαυτοῦ μὴ αὐτὸς παρ' ἐκείνου τοῦτο πάθοιμι; καὶ γὰρ ἂν τῶν τοιούτων ἕνεκά τις ἀναγκασθείη τοῦτο ἐργάσασθαι. ἀλλ' οὐδέν μοι τοιοῦτον ὑπῆρκτο εἰς αὐτόν. ἀλλὰ σοὶ μᾶλλον ἐγὼ τὴν πρόφασιν ταύτην ἔχοιμ' ἂν εἰκότως μετὰ τῆς ἀληθείας ἀναθεῖναι, ὅτι χρημάτων ἕνεκα ζητεῖς ἐμὲ ἀποκτεῖναι, μᾶλλον ἢ σὺ ἐμοὶ ἐκεῖνον· καὶ πολὺ ἂν δικαιότερον [4] ἀλοίης τοῦ φόνου ἐμὲ
733 ἀποκτείνας ὑπὸ τῶν ἐμοὶ προσηκόντων, ἢ ἐγὼ ὑπὸ σοῦ καὶ τῶν ἐκείνου ἀναγκαίων. ἐγὼ μὲν γάρ σοι φανερὰν τὴν πρόνοιαν εἰς ἐμὲ ἀποδείκνυμι, σὺ δέ με ἐν ἀφανεῖ λόγῳ ζητεῖς ἀπολέσαι.

ίά. Ταῦτα μὲν ὑμῖν λέγω, ὡς [5] αὐτῷ μοι πρόφασιν

[1] ἀνεσάθη [2] Deest μέν. [3] Deest εἶεν. [4] ἁλῴης σὺ τοῦ [5] αὐτός μοι πρόνοιαν

ί. Λήψεσθαι] Id est, εἰρήσειν παρ' αὐτῷ, καὶ ταῦτα ἀφελόμενος σφετερισῆσθαι. IDEM.

Ἢ σὺ ἐμοὶ ἐκεῖνον] Malim ἢ σὺ ἐμοὶ [scil. ἔχοις ἀναθεῖναι τὴν πρόφασιν], ὅτι ἐκεῖνον [scil. ἐγὼ ἀπέκτεινα]. quam tu in me conferre possis hanc criminationem, a me illum occisum esse. IDEM.

οὐδεμίαν ἔχει ἀποκτεῖναι τὸν ἄνδρα· δεῖ δέ με καὶ ὑπὲρ Λυκίνου ἀπολογήσασθαι, ὡς ἔοικεν, ἀλλ' οὐχ ὑπὲρ αὐτοῦ μόνον, ὡς οὐδ' ἐκεῖνον εἰκότως αἰτιῶνται. λέγω τοίνυν ὑμῖν ὅτι ταὐτὰ ὑπῆρχεν αὐτῷ εἰς ἐκεῖνον ἅπερ ἐμοί· οὔτε γὰρ χρήματα ἦν αὐτῷ ὁπόθεν ἂν ἔλαβεν ἀποκτείνας ἐκεῖνον, οὔτε κίνδυνος αὐτῷ ὑπῆρχεν οὐδεὶς ὄντινα [1] διέφευγε ἀποθανόντος ἐκείνου. τεκμήριον δὲ μέγιστον ὡς οὐκ ἐβούλετο αὐτὸν ἀπολέσαι· ἔξὸν γὰρ αὐτῷ ἐν ἀγῶνι καὶ κινδύνῳ μεγάλῳ καταστήσαντι μετὰ τῶν νόμων τῶν ὑμετέρων ἀπολέσαι ἐκεῖνον, εἴπερ προωφείλετο αὐτῷ κακὸν, καὶ τό τε 734
ἴδιον τὸ αὐτοῦ διαπράξασθαι καὶ τῇ πόλει τῇ [2] ὑμετέρᾳ χάριν καταθέσθαι, εἰ ἐπέδειξεν ἀδικοῦντα ἐκεῖνον, οὐκ ἠξίωσεν, ἀλλ' οὐδ' ἦλθεν ἐπὶ τοῦτο. καίτοι καλλίων γε ἦν ὁ κίνδυνος αὐτῷ.

ΜΑΡΤΥΡΕΣ.

ἀλλὰ γὰρ ἐνταῦθα μὲν ἀφῆκεν [3] αὐτόν· οὐ γὰρ ἔδει κινδυνεύειν αὐτὸν περί τε αὐτοῦ καὶ ἐμοῦ· ἐνταῦθα δ' ἐπεβούλευεν, ἐν ᾧ γνωσθεὶς ἂν ἀπεστέρει μὲν ἐμὲ τῆς πατρίδος, ἀπεστέρει δὲ αὐτὸν ἱερῶν καὶ ὁσίων καὶ τῶν ἄλλων ἅπερ μέγιστα καὶ περὶ πλείστου ἐστὶν ἀνθρώποις. ἔπειτα δ' εἰ καὶ ὡς μάλιστα ἐβούλετο αὐτὸν ὁ Λυκῖνος τεθνάναι —εἰμι γὰρ καὶ ἐπὶ τὸν τῶν κατηγόρων λόγον—, οὗ αὐτὸς οὐκ ἠξίου αὐτόχειρ γενέσθαι, τοῦτο τὸ ἔργον ἐγώ ποτ' ἂν ἐπείσθην ἀντ' ἐκείνου ποιῆσαι; πότερα ὡς ἐγὼ μὲν ἦν τῷ σώματι ἐπιτήδειος διακινδυνεύειν, ἐκεῖνος δὲ χρήμασι τὸν ἐμὸν κίνδυνον ἐκπρίασθαι; οὐ δῆτα· τῷ μὲν γὰρ οὐκ ἦν χρήματα, ἐμοὶ δὲ ἦν· ἀλλ' αὐτὸ τὸ ἐναντίον ἐκεῖνος τοῦτο

[1] ἰφευγε [2] ὑμετέρᾳ [3] αὐτὸν, ὕστερ οὐκ ἴδει

Ἔχει] Sententia postulat σύοιδα. quo certi sitis (alloquitur judices) me mihi conscium non esse cædis præmeditatæ in hoc homine Herode a me commissæ. Et hanc lectionem in Latinis meis expressi. IDEM.

Αὐτῷ] Γίγραπται· αὐτῷ. H. STEPHAN. Dedi cum spiritu aspero, id est, ὑπὲρ ἐμαυτοῦ. non me solum, ut videtur, sed Lycinum quoque purgare me decet. nam et ille quoque præter fas insimulatus fuit. IDEM.

Αὐτῷ ὑπῆρξεν] Redit ad Lycinum. idem est ac si dixisset: οὐ γὰρ εἶχεν αὐδ' αὐτὸς, ὑπόθεν ἔλαβεν ἂν μισθὸν τοῦ ἀπαντεῖναι τὸν Ἡρώδην. nam non ille magis, quam ego, mercedem cædis unde aufferret, habebat. IDEM.

Ἀλλὰ γὰρ —] Est ironica argumentatio ex absurdo. IDEM.

Οὐ δῆτα --- ἐπὶ ἐκεῖνός γ'] Videntur verba sic convenientius ordinari posse: οὐ δῆτα, ἀλλ' αὐτὸ τὸ ἐναντίον. ἐκεῖνος τοῦτο — ᾧ ἐγὼ ὑπὸ τούτου. τῷ μὲν γὰρ οὐκ ἦν χρήματα, ἐμοὶ δ' ἦν. ἐπὶ ἐκεῖνός γ'—. IDEM.

θᾶσσον ἂν ὑπ' ἐμοῦ. ἐπείσθη κατά γε τὸ εἰκὸς ἢ ἐγὼ ὑπὸ τούτου, ἐπεὶ ἐκεῖνός γ' ἑαυτὸν οὐδ' ὑπερημέρου γενόμενον ἑπτὰ μνῶν δυνατὸς ἦν λύσασθαι, ἀλλ' οἱ φίλοι αὐτὸν ἐλύσαντο. καὶ μὲν δὴ καὶ τῆς χρείας τῆς ἐμῆς καὶ τῆς Λυκίνου τοῦτο ὑμῖν μέγιστον τεκμήριόν ἐστιν, ὅτι οὐ σφόδρα ἐχρώμην ἐγὼ Λυκίνῳ φίλῳ, ὡς πάντα ποιῆσαι ἂν τὰ ἐκείνῳ δοκοῦντα· οὐ γὰρ δήπου ἑπτὰ μὲν μνᾶς οὐκ ἀπέτισα περὶ αὐτοῦ δεδεμένου καὶ λυμαινομένου, κίνδυνον δὲ τοσοῦτον ἀραμένος ἄνδρα ἀπέκτεινα δι' ἐκεῖνον.

ιβ'. Ὡς μὲν οὖν οὐκ αὐτὸς αἴτιός εἰμι τοῦ πράγματος, οὐδὲ ἐκεῖνος, ἀποδέδεικται καθ' ὅσον ἐγὼ δύναμαι μάλιστα· τούτῳ δὲ χρῶνται πλείστῳ λόγῳ οἱ κατήγοροι, ὅτι ἀφανής ἐστιν ὁ ἀνήρ, καὶ ὑμεῖς ἴσως περὶ τούτου [1] αὐτοῦ πεθεῖτε ἀκοῦσαι. εἰ μὲν οὖν τοῦτο εἰκάζειν δεῖ με, ἐξ ἴσου τοῦτό ἐστι καὶ ὑμῖν καὶ ἐμοί· οὔτε γὰρ ὑμεῖς αἴτιοι τοῦ ἔργου ἐστὲ οὔτε ἐγώ· εἰ δὲ δεῖ τοῖς ἀληθέσι χρῆσθαι, τῶν εἰργασμένων τινὰ ἐρωτώντων· ἐκείνου γὰρ ἄριστα πύθοιντο. ἐμοὶ [2] μὲν γὰρ τῷ μὴ εἰργασμένῳ τοσοῦτον τὸ [3] μακρότερον τῆς ἀποκρίσεώς ἐστιν, ὅτι οὐκ εἴργασμαι· ᾧ δὲ ποιήσαντι ῥᾴδια ἐστὶν ἡ ἀπόδειξις, καὶ μὴ ἀποδείξαντι [4] εὖ εἰκάσαι. οἱ μὲν γὰρ πανουργοῦντες ἅμα τε πανουργοῦσι καὶ τρόφασιν εὑρίσκουσι τοῦ ἀδικήματος· τῷ δὲ μὴ εἰργασμένῳ χαλεπὸν περὶ τῶν ἀφανῶν εἰκάζειν. οἶμαι δ' ἂν καὶ ὑμῶν ἕκαστον, εἴ

[1] * αὐτοῦ [2] Deest μέν. [3] * μακρότατον [4] εὖ καὶ εἰκάσαι.

Χρείας] Bene si habet, accipi debet pro φιλίας. familiaritatis atque necessitudinis nostræ mutuæ, meæ puta cum Lycino. Idem est ac si dixisset: περὶ τῆς χρείας ἣν ἐχρώμεθα ἡμεῖς ἀλλήλοις. quod ad consuetudinem nostram mutuam attinet. IDEM.

Λυμαινομένου] Sic dedi de meo. δεδεμένου καὶ λυμαινομένου idem est atque ἐν τοῖς δεσμοῖς λυμαινομένου. multas molestias, cruciatus, morbos tolerante in corpore, in carcere, in vinculis. Vulgatæ dant λυμαιμένου: pro quo Stephanus malebat λελυμένου: sed cum loci fugiebat sententia, quæ hæc est. pro Lycino in carcere tabescente nolui septem minas solvere, quo liber emitteretur. Ad λυμαινομένου subauditur ὑπὸ τῶν δεσμῶν καὶ τῆς κακοπαθείας. IDEM.

ιβ'. Ἐρωτώντων] Id est, ἐρωτάτωσαν. Interrogante adversarii mei coram aliquem, qui facinus patrarunt. IDEM.

εἴ] Videtur hoc initium vocabuli mutilati esse, aut εὔκολον, aut εὐχερές. et facile est quoque probabilia indicia et reperire, et edere, tametsi haud docuerit. verum, ut fatear id, quod sentio, labare videtur sententia. Quid enim ei, qui facinus patrarit, ejusque sibi conscius sit, opus sit conjectare? quæ noimus, ea conjectura non venamur. Videtur auctor non satis aperte sententiam protulisse, quæ, ni fallor, hæc fuit: aut si ille quoque minus docuerit, potuerit tamen, si quidem rei gestæ quodammodo gnarus et conscius sit, vestigia saltim vere similia indicare, quæ prementes alii verum tandem inveniant. Vulgatam qui tuebitur, ei sic erit construendum: καὶ μὴ ἀποδείξαντι [subaudi e proximis ῥᾴδιόν ἐστιν] εὖ καὶ καλῶς εἰκάσαι. Paulo post recurrit εἴ τις εἰκάζειν. p. 105. v. 5. Verum hanc quoque lectionem eadem urget difficultas, quam modo indicavi. IDEM.

Εἴ τις τινα] Subaudi e proximo ἡμῶν.

τίς τινα ἔροιτο ὅ τι μὴ τύχοι εἰδὼς, τοσοῦτον ἂν εἰπεῖν, ὅτι οὐκ οἶδεν· εἰ [1]δέ τις περαιτέρω κελεύει λέγειν, ἐν πολλῇ ἂν ὑμᾶς [2]ἔχεσθαι ἀπορίᾳ δοκῶ. μὴ τοίνυν ἐμοὶ 737
νείμητε τὸ ἄπορον τοῦτο, ἐν ᾧ μηδ' ἂν αὐτοὶ [3]εὐπορεῖτε· μηδ' ἐὰν εὖ εἰκάζω, ἐν τούτῳ μοι ἀξιοῦτε τὴν ἀπόφευξιν εἶναι, ἀλλ' ἐξαρκείτω μοι ἐμαυτὸν ἀναίτιον ἀποδεῖξαι τοῦ πράγματος. ἐν τούτῳ οὖν ἀναίτιος εἰμὶ, οὐκ ἐὰν [4]μὴ ἐξεύρω ὅτῳ τρόπῳ ἀφανὴς ἐστιν ἢ ἀπόλωλεν ἀνὴρ, ἀλλ' εἰ μὴ προσήκει μοι μηδὲν ὥςτ' ἀποκτεῖναι αὐτόν. ἤδη δ' ἔγωγε καὶ πρότερον ἀκοῇ ἐπίσταμαι γεγονὸς, τοῦτο μὲν τοὺς ἀποθανόντας, τοῦτο δὲ τοὺς ἀποκτείναντας, οὐχ εὑρεθέντας. οὔκουν ἂν καλῶς ἔχοι εἰ τούτων δέοι τὰς αἰτίας ὑποσχεῖν τοὺς συγγενομένους. πολλοὶ δέ γ' ἤδη σχόντες ἑτέρων πραγμάτων αἰτίας, πρὶν τὸ σαφὲς αὐτῶν γνωσθῆναι, προαπώλοντο. αὐτίκα Ἐφιάλτην τὸν ὑμέτερον πολίτην οὐδέπω νῦν εὑρηνται οἱ ἀποκτείναντες· εἰ οὖν τις ἠξίου τοὺς συνόντας ἐκείνῳ εἰκάζειν οἵ τινες ἦσαν οἱ ἀποκτείναντες Ἐφιάλτην, εἰ δὲ μὴ, ἐνόχους εἶναι τῷ φόνῳ, οὐκ ἂν καλῶς εἶχε τοῖς συν- 738
οῦσιν. ἔπειτα οἵ γε Ἐφιάλτην ἀποκτείναντες οὐκ ἐζήτησαν τὸν νεκρὸν ἀφανίσαι, οὐδ' ἐν τούτῳ κινδυνεύειν μηνῦσαι τὸ πρᾶγμα, ὥσπερ οἵδε φασὶν ἐμὲ τῆς μὲν ἐπιβουλῆς οὐδένα κοινωνὸν ποιήσασθαι τοῦ θανάτου, τῆς δ' ἀναιρέσεως. τοῦτο δ' ἐντὸς οὐ πολλοῦ χρόνου παῖς ἐζήτησεν οὐδὲ δώδεκα ἔτη γεγονὼς τὸν δεσπότην ἀποκτεῖναι· καὶ εἰ μὴ φοβηθεὶς, ὡς

[1] δέ * τι καὶ περαιτέρω κελεύοι [2] ἴσεσθαι [3] εὐπορῆτε· μηδὲ, ἂν [4] [μὴ]

si quis vestrum quempiam interroget, de re quam interrogatus ignoret. IDEM.

Αἴγειν] Subaudi ὑμᾶς. IDEM.

Ἐν τούτῳ οὖν] Malim γάρ τούτῳ redit ad subjecta, οὐκ ἐὰν — et ἀλλ' εἰ μή. IDEM.

Ἐὰν μὴ ἐξεύρω] Π. ἐὰν μὲν ἐξεύρω. H. STEPHAN.

Ἀφανὴς ἐστιν] Id est, ἀφανίσθη. Possunt utique ista duo ἀφανὴς ἐστι et ἀπόλωλεν diversa esse. posterius cædem designat, vel modum cædis: prius modum, cum e conspectu hominum subducendi, jam peremtum, ut nusquam reperiri queat. REISK.

Οἵ γε] Quid si οἱ μὲν, ob insequens δὲ in istis τοῦτο δ' ἐντός. IDEM.

Ἐν τούτῳ] Scil. ἐν τῷ ἀφανίζειν τὸν νεκρόν. neque operam dederunt, ut per hoc [studium puta suum, cadaver e conspectu submovendi] in periculum venirent cædem prodendi. ἀφανίζεται νεκρὸς sive humando, sive cremando, sive bestiis objiciendo, sive undis mergendo, quorum plerumque fieri nequeunt sine molestia et alieno adjumento. quo fit ut cædes commissa hoc modo facile palam fiat. IDEM.

Τοῦ θανάτου] Cohæret cum τῆς ἐπιβουλῆς. ἡ τοῦ θανάτου ἐπιβουλὴ idem est atque τὸ ἐπιβουλεύειν τινὶ θάνατον. comparatio et machinatio cædis in alicujus caput. nam θάνατος Antiphonti sæpe pro φόνος usurpatur. Possit tamen rursus quoque dictio τοῦ θανάτου pro scholio haberi. id quod alii arbitrantur. IDEM.

Τῆς δ' ἀναιρέσεως] Subaudi ποιήσασθαί τινα κοινωνόν. ad tollendum autem corpus, h. e. humandum, adhibitum a me fuisse operæ socium, tametsi cavissem, ne quis mihi interimenti hominem adesset. IDEM.

739 ἀνεβόησεν, ἐγκαταλιπὼν τὴν μάχαιραν τῇ σφαγῇ ᾤχετο φεύγων ἀλλ' ἐτόλμησε μεῖναι, ἀπώλοντ' ἂν οἱ ἔνδον ἅπαντες· οὐδεῖς γὰρ ἂν ᾤετο τὸν παῖδά ποτε τοῦτο τολμῆσαι· νῦν δὲ συλληφθεὶς αὐτὸς ὕστερον κατεῖπεν [1] αὑτοῦ. τοῦτο δὲ περὶ χρημάτων αἰτίαν ποτὲ σχόντες οὐκ οὖσαν, ὥσπερ ἐγὼ νῦν, οἱ Ἑλληνοταμίαι οἱ ὑμέτεροι, ἐκεῖνοι μὲν [2] ἅπαντες ἀπέθανον ὀργῇ μᾶλλον ἢ γνώμῃ, πλὴν ἑνὸς, τὸ δὲ πρᾶγμα ὕστερον καταφανὲς ἐγένετο. τοῦ δ' ἑνὸς τούτου — Σωσίαν ὄνομά φασιν αὐτῷ εἶναι — κατέγνωστο μὲν ἤδη θάνατος, ἐτεθνήκει δὲ οὔπω· καὶ ἐν τούτῳ ἐδηλώθη τῷ τρόπῳ [3] ἀπωλώλει τὰ χρήματα, καὶ ὁ ἀνὴρ ἀπήχθη ὑπὸ τοῦ δήμου τοῦ ὑμετέρου παραδεδομένος ἤδη τοῖς ἕνδεκα, οἱ δ' ἄλλοι ἐτέθνασαν οὐδὲν αἴτιοι ὄντες. ταῦθ' ὑμῶν αὐτῶν ἐγὼ οἶμαι μεμνῆσθαι τοὺς πρεσβυτέρους, τοὺς δὲ νεωτέρους πυνθάνε-
740 σθαι ὥσπερ ἐμέ. οὕτως ἀγαθόν ἐστι μετὰ τοῦ χρόνου βασανίζειν τὰ πράγματα. καὶ τοῦτ' ἴσως ἂν φανερὸν γένοιτ' ἂν ὕστερον, [4] καὶ ὅτῳ τρόπῳ τέθνηκεν ὁ ἄνθρωπος. μὴ οὖν ὕστερον τοῦτο γνῶτε, ἀναίτιόν με ὄντα ἀπολέσαντες, ἀλλὰ πρότερόν γ' εὖ βουλεύσασθε καὶ μὴ μετ' ὀργῆς καὶ διαβολῆς, ὡς τούτων οὐκ ἂν γένοιντο ἕτεροι πονηρότεροι σύμβουλοι. οὐ γάρ ἐστιν ὅτι ὀργιζόμενος ἄνθρωπος ἂν γνοίη· αὐτὸ γὰρ, ᾧ βουλεύεται, τὴν γνώμην διαφθείρει τοῦ ἀνθρώπου. μέγα [5] τι ἡμέρα παρ' ἡμέραν γιγνομένη γνώμην, ὦ ἄνδρες,

[1] ἑαυτοῦ [2] Deest ἅπαντες. [3] ἀπολώλει [4] Deest καί.
[5] τε ἡμέραν π. ἡ. γιγνομένην

Ἀνεβόησεν] Ὁ δεσπότης puta. nisi herus, interea dum a servo jugularetur, vociferatus esset. hoc ideo visum fuit admonere, quia circumjecta ad puerum jugulantem redeunt. Idem.

Ὥσπερ ἐγὼ νῦν] Scil. περὶ φόνου αἰτίαν ἔχω οὐκ οὖσαν. Idem.

Ἐν τούτῳ] Estne masculini, an neutrius generis? in illo, Sosia puta, an, interea temporis, dum hæc geruntur. ἐν τούτῳ τῷ χρόνῳ vel ἐν τούτῳ τοῦ χρόνου? placet posterius. Idem.

Τῷ τρόπῳ] Id est, ὅτῳ τρόπῳ vel τίνι τρόπῳ. quonam pacto. Idem.

Ἀπήχθη] Imo vero οὐκ ἀπήχθη, scil. τὴν ἐπὶ θανάτῳ ὁδόν. non abducebatur ad locum supplicii tolerandi, h. e. morte non plectebatur, tametsi jam a populo undecimviris rerum capitalium esset eo traditus, quo capite lueret. [Bene potest hæc dictio, etiam sine οὐκ, habere, hactenus, si non solitum illud supplementum τὴν ἐπὶ θανάτῳ ὁδὸν cogitatione adjungatur; sed alterum paulo rarius inventu, τὴν ἐπὶ τὰ οἴκοι, aut τὴν ἐπὶ τὴν οἰκίαν. reducebatur domum suam e carcere, tametsi jam undecimviris traditus esset. *In Access. ad sua Antiph.*] Idem.

Ὥσπερ ἐμὲ] Id est, ὥσπερ ἐγὼ ἀκοῇ παρ' ἄλλων εἰδότων ἐπυθόμην. Idem.

Ὦ βουλεύεται] Id est ἐν ᾧ, δι' οὗ, μεθ' οὗ βουλεύεται ὁ ἄνθρωπος. Stephanus et Scaliger malebant ὃ βουλ. Ad διαφθείρει subaudi ἡ ὀργὴ. Nam αὐτὸ accusativus est, et ejus interpretatio est τὴν γνώμην. Ira corrumpit id ipsum, quo homo deliberat, mentem puta. Idem.

Μέγα τε ἡμέραν] Π. μέγα τε ἡμέρα π. ἡ. γιγνομένη γν. ὦ ἄ. ἐξ ὁ. μεταστῆσαι. H. Stephan. F. sic constituendus est hic locus: μέγα δὲ δύναται ἡμέρα παρ' ἡμέραν γιγνομένη πρὸς τὸ τὴν γνώμην — μεταστῆσαι.

ἐξ ὀργῆς [1] μεταστῆσαι καὶ τὴν ἀλήθειαν εὑρεῖν τῶν γεγενη- 741
138. 1 μένων. εὖ δὲ ἴστε ὅτι ἐλεηθῆναι ὑφ' ὑμῶν ἄξιός εἰμι μᾶλλον ἢ δίκην δοῦναι· δίκην μὲν γὰρ εἰκός ἐστι διδόναι τοὺς ἀδικοῦντας, ἐλεεῖσθαι δὲ [2] τοὺς ἀδίκως κινδυνεύοντας. κρεῖσσον δὲ χρὴ ἀεὶ γίγνεσθαι τὸ ὑμέτερον δυνάμενον ἐμὲ δικαίως σώζειν, ἢ τὸ τῶν ἐχθρῶν βουλόμενον ἀδίκως με ἀπολλύναι. ἐν μὲν γὰρ τῷ ἐπισχεῖν ἔστι καὶ τὰ δεινὰ ταῦτα ποιῆσαι ἃ οὗτοι κελεύουσιν, ἐν δὲ τῷ παραχρῆμα οὐκ ἔστιν ἀρχὴν ὀρθῶς βουλεύεσθαι.

ιγ'. Δεῖ δέ με καὶ ὑπὲρ τοῦ πατρὸς ἀπολογήσασθαι. καίτοι γε πολλῷ μᾶλλον εἰκὸς ἦν ἐκεῖνον ὑπὲρ ἐμοῦ ἀπολογήσασθαι, πατέρα ὄντα. ὁ μὲν γὰρ πολλῷ πρεσβύτερός ἐστι τῶν ἐμῶν πραγμάτων, ἐγὼ δὲ πολλῷ νεώτερος τῶν ἐκείνῳ πεπραγμένων. καὶ εἰ μὲν ἐγὼ τούτου 742
ἀγωνιζομένου κατεμαρτύρουν [3] ἃ μὴ σαφῶς ᾔδειν, ἀκοῇ δὲ ἠπιστάμην, δεινὰ ἂν ἔφη πάσχειν ὑπ' ἐμοῦ· νῦν δὲ ἀναγκάζων ἐμὲ ἀπολογεῖσθαι ὧν ἐγὼ πολλῷ νεώτερός εἰμι καὶ λόγῳ οἶδα, ταῦτα οὐ δεινὰ ἡγεῖται εἰργάσθαι. ὅμως μέντοι καθ' ὅσον ἐγὼ οἶδα, οὐ προδώσω τὸν πατέρα κακῶς ἀκούοντα ἐν ὑμῖν ἀδίκως. καίτοι τάχ' ἂν σφαλείην, ἃ ἐκεῖνος ὀρθῶς ἔργῳ ἔπραξε, ταῦτ' ἐγὼ λόγῳ μὴ ὀρθῶς εἰπών· ὅμως δ' οὖν κεκινδυνεύσεται. πρὶν μὲν γὰρ τὴν ἀπόστασιν τῶν Μιτυληναίων γενέσθαι, ἔργῳ τὴν εὔνοιαν ἐδείκνυε [4] τὴν εἰς ὑμᾶς· ἐπειδὴ δὲ ἡ πόλις ὅλη κακῶς ἐβουλεύσατο ἀποστᾶσα

[1] μεταστήσειν [2] τοὺς μὴ ἀδικοῦντας κινδ. [3] ἃ μηδαμῶς ᾔδειν [4] Deest τήν.

magnum valet dies diei succedens, seu, quod nunc hic dies, non iste, agatur, ad mutandam mentem. Reisk.

Κρεῖσσον — τὸ ὑμέτερον δυνάμενον] Id est, τὴν ὑμετέραν δύναμιν. ut in continenti insequens τὸ τῶν ἐχθρῶν βουλόμενον idem est atque τὴν τ. ἐ. βούλησιν. Idem.

Ἐν δὲ τῷ παραχρῆμα] Bene si habet hæc lectio, παραχρῆμα materialiter est accipiendum. ut si dicas *in repente* pro *in repentino*. Subauditur aut βουλεύεσθαι, quod sequitur. in capiendo consilia repente vel subito. aut κολάζειν. Idem.

ιγ'. Ὁ μὲν γὰρ —] Sententia hæc est. Consentaneum quidem erat a patre potius meam, quam a me patris causam agi. Nam defendendi aliquem qui partes susceperit, ei necesse est ut cognitæ sint atque perspectæ rationes omnes defendendi. Atqui pater quidem res meas omnes probe novit, ut major ætate, vigilque atque magister juventutis meæ. Mihi vero, ut annis posteriori, necessario multa rerum patris ignota sunt. Idem.

Τούτου] Si hoc, adversario meo, causam agente, multa adversus eum, in ejus fraudem, pro testimonio affirmarem, mihi incomperta. Idem.

Εἰργάσθαι] Subaudi αὐτὸν ἐμέ. non existimat a se mihi atrocem factam injuriam eo, quod ad necessitatem me adegit, ea faciendi, quæ ipse sit pro enormi crimine habiturus; scil. ut disputem de rebus, quas per ætatem scire nequeam. Idem.

Ὅμως] Præmitte tacita cogitatione istæc subjecta: καίτοι οὖν τοῦτο ἐμοὶ δεινὸν καὶ χαλεπὸν ἔργον ἐστί. quamquam igitur hæc dura mihi venit provincia, nihilominus tamen —. Idem.

καὶ ἥμαρτε τῆς ὑμετέρας γνώμης, μετὰ τῆς πόλεως ὅλης
743 ἠναγκάσθη συνεξαμαρτεῖν. τὴν μὲν οὖν γνώμην ἔτι καὶ ἐν
ἐκείνοις ὁμοίως ἦν εἰς ὑμᾶς, τὴν δ' εὔνοιαν οὐκέτι ἦν ἐπ'
ἐκείνῳ τὴν αὐτὴν εἰς ὑμᾶς παρέχειν. οὔτε γὰρ ἐκλιπεῖν τὴν
πόλιν [1] εὐρόπως εἶχεν αὐτῷ· ἱκανὰ γὰρ ἦν τὰ ἐνέχυρα ἃ
[2] εἴχετο αὐτοῦ, οἵ τε παῖδες καὶ τὰ χρήματα· [3] τοῦτο δ'
744 [4] αὖ μένοντι πρὸς τὴν πόλιν αὐτῷ ἀδυνάτως εἶχεν ἰσχυρί-
ζεσθαι. ἐπεὶ δ' ὑμεῖς τοὺς αἰτίους τούτων ἐκολάσατε, ἐν
οἷς οὐκ ἐφαίνετο ὢν ὁ ἐμὸς πατήρ, τοῖς δ' ἄλλοις Μιτυλη-
ναίοις ἄδειαν ἐδώκατε οἰκεῖν τὴν σφετέραν αὐτῶν, οὐκ ἔστιν
ὅ τι ὕστερον [5] αὐτῷ ἡμάρτηται τῷ ἐμῷ πατρὶ, οὐδ' ὅ τι οὐ
πεποίηται τῶν δεόντων, οὐδ' ἧς τινὸς λειτουργίας ἡ πόλις
ἐνδεὴς γεγένηται, οὔτε ἡ [6] ὑμετέρα οὔτε ἡ Μιτυληναίων,
ἀλλὰ καὶ χορηγίας ἐχορήγει καὶ τέλη κατετίθει. εἰ δ' ἐν
Αἴνῳ χωροφιλεῖ, τοῦτο οὐκ ἀποστερῶν γε τῶν εἰς τὴν πό-

[1] εὐρόπως] καλῶς. [2] * εἶχετε. [3] * τούτῳ. [4] αὖ. [5] * αὐτῶν. [6] ἡμετέρα.

Ἥμαρτε] Lapsus est, aberravit, vel excidit secunda vestra voluntate, vel benevolentia. Sic dedi de meo, pro vulgari ἥμαρται. IDEM.

Ὁμοίως] Scil. ἑαυτῷ εὐνοοῦντι εἰς ὑμᾶς ἐν τῷ ἔμπροσθεν χρόνῳ. IDEM.

Τὴν αὐτὴν] Subaudi ταύτῃ, ἣν πρότερον παρέσχεν. IDEM.

Τὴν πόλιν] Mitylenam. IDEM.

Αὐτῷ· ἱκανὰ] Post αὐτῷ deesse videtur οὔτε γ' ἐχρῆν vel tale quid. *neque etiam opus erat.* prodit hunc defectum primum οὔτε præmissum, in vulgatis non habens alterum οὔτε, quod isti respondere debet. tum ratiocinium ἱκανὰ γὰρ, cujus ratiocinii vis labat, et nexus hiat in vulgatis. non enim convenit præmisso οὐ καλῶς εἶχεν subjectum ἱκανὰ γὰρ — verum bene conveniet, si οὔτε γ' ἐχρῆν vel simile quid immittas. Satis enim multa penes vos erant pignora, quæ vos non sinerent dubitare de patris erga vos fide, etiamsi Mitylenis maneret, liberi puta et fortunæ ejus, Athenis relictæ. IDEM.

Εἴχετο] Dedi de meo, pro vulgari lectione εἶχετο. quæ emendatio si probabitur, locum habebit hactenus, ut etiam supplementum illud οὔτε γ' ἐχρῆν probetur. Vulgata ideo displicebat, quia non alia ei significatio h. l. conveniebat, quam *habebantur, tenebantur.* verum ut taceam eam significationem ambiguam esse, quæ dubium relinquat, quisnam habuerit, Atheniensesne an Mitylenæi, præterea quoque, quod adhuc majus est ad offensionem, ne Græca quidem est. ἔχεσθαι, in passivo, non usurpatur. IDEM.

Τούτῳ] Cohæret cum ἰσχυρίζεσθαι. bono niti, hoc allegare ad vos caput defensionis suæ, hunc vigere locum approbandæ suæ erga vos fidei, ut diceret, fidem vobis suam certam constare, et vobiscum esse satmultam et sat magna suæ fidei pignora — hæc inquam, proferre et jactare ad vos patri non licebat. Constructio hæc est: αὐτῷ μένοντι οὐκ ἐξῆν ἰσχυρίζεσθαι τούτῳ [scil. τῷ δικαίῳ]. vulgatæ dant τοῦτο. IDEM.

Τούτων] Scil. τῶν ταραχῶν καὶ κακῶν τῶν γεγενημένων παρὰ τὴν τῶν Μιτυληναίων ἀπόστασιν. IDEM.

Ὕστερον αὐτῶν] Sic dedi rursus de meo, pro vulgari αὐτῷ. cohæret αὐτῶν cum ὕστερον. *post istæc.* ab illo inde tempore, quo turbæ istæ sunt compositæ. vulgatam qui defensum ibunt, hi contendent, verba, τῷ ἐμῷ πατρὶ esse supereuarrationem vocabuli αὐτῷ. IDEM.

Ἐνδεὴς] Subaudi παρ' ἐκεῖνον aut δι' ἐκεῖνον. *per, propter illum.* IDEM.

Χορηγίας] Luculenter ex h. l. apparet, civibus Atheniensibus, etiamsi extra Athenas in peregrino solo sedes fortunarum fixas haberent, ideo tamen remissam non fuisse necessitatem contributionum et munium domi edendorum, sed perinde contribuendum ad necessitates rerarii fuisse, atque si Athenis mansissent. Nam qui id omitterent facere, hi jure civitatis Atticæ mulctabantur. IDEM.

Τοῦτο] Post τοῦτο deest ποιεῖ aut tale quid. IDEM.

Τῶν εἰς τὴν πόλιν] Subaudi ἐκεισῶν ὀφε-

λιν ἑαυτὸν οὐδενὸς, οὐδ' ἑτέρας πόλεως πολίτης γεγενημένος, 745
ὥςπερ ἑτέρους ὁρῶ τοὺς μὲν εἰς τὴν ἤπειρον ἰόντας καὶ οἰ-
κοῦντας ἐν τοῖς πολεμίοις τοῖς ὑμετέροις καὶ δίκας ἀπὸ
ξυμβόλων ὑμῖν δικαζομένους, οὐδὲ φεύγων τὸ πλῆθος τὸ
ὑμέτερον, τοὺς δ' οἵους ὑμεῖς μισῶν συκοφάντας. ἃ μὲν οὖν 746
μετὰ τῆς πόλεως ὅλης ἀνάγκη μᾶλλον ἢ γνώμῃ ἔπραξε,
τούτων οὐ δίκαιός ἐστιν ὁ ἐμὸς πατὴρ [1]ἰδίᾳ δίκην διδόναι.
ἅπασι γὰρ Μιτυληναίοις ἀείμνηστος ἡ τότε ἁμαρτία γεγέ-
νηται· ἠλλάξαντο μὲν γὰρ πολλῆς εὐδαιμονίας πολλὴν κα-
κοδαιμονίαν, ἐπεῖδον δὲ τὴν ἑαυτῶν πατρίδα ἀνάστατον
γενομένην. ἃ δὲ ἰδίᾳ οὗτοι διαβάλλουσι τὸν ἐμὸν πατέρα,
μὴ πείθεσθε· χρημάτων γὰρ ἕνεκα ἡ πᾶσα παρασκευὴ
γεγένηται ἐπ' ἐμοὶ κἀκείνῳ. πολλὰ δ' ἐστὶ τὰ συμβαλ-
λόμενα τοῖς βουλομένοις τῶν ἀλλοτρίων ἐφίεσθαι. γέρων μὲν
ἐκεῖνος [2]ὥςτ' ἐμοὶ βοηθεῖν, νεώτερος δ' ἐγὼ πολλῷ ἢ ὥςτε
δύνασθαι ἐμαυτῷ τιμωρεῖν ἱκανῶς. ἀλλ' ὑμεῖς βοηθήσατέ
μοι, καὶ μὴ διδάσκετε τοὺς συκοφάντας μεῖζον ὑμῶν αὐτῶν
δύνασθαι. ἐὰν μὲν [3]γὰρ εἰσιόντες εἰς ὑμᾶς ἃ βούλονται 747

[1] ἰδίαν [2] ὥστε μοι [3] Deest γάρ.

λειῶν. civitatem nullo privans emolumento a se veniente, h. e. pro parte sua virili. seu quæcunque, pro persona sua, ut vulgo usurpant, decora et commoda conferre patriæ posset, atque deberet etiam, ut civis natus, ea omnia sedulo præstabat. ἀποστερῶ ἐμαυτὸν οὐδενὸς scil. καθήκοντος, significat, nulli me officio subduco, nullum defugio. Idem est ac si dixisset: ἀποστερῶν τὴν πόλιν οὐδενὸς τῶν παρ' ἑαυτοῦ εἰς αὐτὴν γιγνομένων. nulla parte officiorum fraudans rempublicam, quæ ad eam a se proficisci par esset. nullum detrectans onus. Idem.

Καὶ δίκας] Imo vero τοὺς δὲ καὶ δίκας. nam alias claudicabit præmissum τοὺς μὲν εἰς τὴν Ἀσίαν ἰόντας. quosdam vero, non solum in Asiam migrantes, eoque sedes fortunarum suarum transferentes, sed etiam præterea, quod adhuc est atrocius, vexantes vos litibus mercatoriis. Quæritur de civibus quibusdam Atheniensibus, qui cum in Asiam transissent, eoque fortunas suas transtulissent, incommodarent aliis civibus, in urbe perpetuo manentibus, si qui horum cum illis commercia mercium et pecuniarum mutuo in fœnus sumtarum datarumve contraxissent. Notum est apud veteres causas mercatorias citissime atque multo etiam majore cum severitate fuisse disceptatas, quam alias quascunque causas civiles. σύμβολα sunt idem atque συμβόλαια. Idem.

Οἵους ὑμεῖς] Hic jam, non judices amplius, ut adhuc fecerat, alloquitur, sed adversarios suos; subauditur ἐστέ. idem est ac si dixisset: ἀμείνους ὑμῶν, aut τοιούτους, οἷοι ὑμεῖς ἐστέ. possit tamen ὑμεῖς etiam ad judices referri. sed tum μισεῖτε erit subaudiendum. quod tametsi durum est, nescio tamen an sit Antiphontis dictione non indignum. exosos habens syocophantas, quod genus hominum vos quoque, judices, odistis. Idem.

Ἰδίαν] Malim ἰδίᾳ adverbialiter. Idem.

Ἅπασι] Vult dicere, satis jam magnas hujus erroris pœnas dedit pater cunoto cum populo. Idem.

Συμβαλλόμενα] Id est, βοηθοῦντα. Idem.

Ὥστε μοι βοηθεῖν] Bene si habet hæc dictio, ut nunc in vulgatis circumfertur, accipi debet pro ἀδυνάτους ἦχε διὰ τὸ γῆρας πρὸς τὸ ἐμοὶ βοηθεῖν. Notum enim et pervulgatum est, ὥστε tantundem esse atque πρός τί. Alius dixisset sic: γέρων μὲν ἐκεῖνος. ὧν ἀδυνατότερός ἐστιν, ἢ ὥστε μοι βοηθεῖν. v. paulo post. Idem.

Ἐὰν μὲν] Adde γάρ. colligit sic: cives vestros ne docete syocophantas plus posse, quam vosmetipsos. Hi enim [syocophan-

πράσσωσι, δεδειγμένον ἔσται τούτους [1]μὲν πείθειν, τὸ δ' ὑμέτερον πλῆθος φεύγειν· ἐὰν δὲ εἰσιόντες εἰς ὑμᾶς πονηροὶ μὲν αὐτοὶ δοκῶσιν εἶναι, πλέον δ' αὐτοῖς μηδὲν γένηται, ὑμετέρα ἡ τιμὴ καὶ ἡ δύναμις ἔσται, ὥσπερ καὶ τὸ δίκαιον
748 ἔχει. ὑμεῖς οὖν ἐμοί τε βοηθεῖτε καὶ τῷ δικαίῳ.

ιδ'. Ὅσα μὲν οὖν ἐκ τῶν ἀνθρωπίνων τεκμηρίων καὶ 139.1
μαρτυριῶν οἷά τε ἦν ἀποδειχθῆναι, εἰρηκόατε· χρὴ δὲ καὶ τοῖς ἀπὸ τῶν θεῶν σημείοις γενομένοις εἰς τὰ τοιαῦτα οὐχ ἥκιστα τεκμηραμένους ψηφίζεσθαι. καὶ γὰρ τὰ τῆς πόλεως κοινὰ τούτοις μάλιστα πιστεύοντες ἀσφαλῶς διαπράσσεσθε, τοῦτο μὲν τὰ εἰς τοὺς κινδύνους ἥκοντα, τοῦτο 5
δὲ εἰς τὰ ἔξω τῶν κινδύνων. χρὴ δὲ καὶ εἰς τὰ ἴδια ταῦτα μέγιστα καὶ πιστότατα ἡγεῖσθαι. οἶμαι γὰρ ὑμᾶς ἐπίστασθαι, ὅτι πολλοὶ ἤδη ἄνθρωποι μὴ καθαροὶ χεῖρας, ἢ ἄλλο τι μίασμα ἔχοντες, συνεισβάντες εἰς τὸ πλοῖον συναπώλεσαν μετὰ τῆς αὑτῶν ψυχῆς τοὺς ὁσίως διακειμένους τὰ πρὸς τοὺς θεούς· τοῦτο δὲ ἤδη ἑτέρους ἀπολομένους μὲν οὔ, κινδυνεύσαντας δὲ τοὺς ἐσχάτους κινδύνους διὰ τοὺς τοιούτους ἀνθρώπους· τοῦτο δὲ ἱεροῖς παραστάντες πολλοὶ δὴ 10
749 καταφανεῖς ἐγένοντο οὐχ ὅσιοι ὄντες καὶ διακωλύοντες τὰ

[1] μὲν [μὲ] πείθειν

tis] si ad vos ingressi [h. e. in foro et actione causarum versantes] impune agent, quæcunque volent, planum erit civibus factum, oportere se solummodo illos impuros sibi devincire quadruplatores, vestrum autem consessum devitare, h. e. vestram gratiam pensi non facere, neque vos respicere, nil curare ad vos receptam habere, non vos rogare, ut sibi ignoscatis, aut gratificemini. IDEM.

Μὲ πείθειν] Uncis inclusi particulam infitiantem, ut amputandam, prout e modo dictis liquet. Et nescio an hoc μὲ ad sedem suam, unde aberrasse videtur, revocandum sit, hoc est inter μοι et βοηθεῖν p. 109. v. 15. interponendum, ut legatur: ἔστω μὲ μοι βοηθεῖν vel ἔστω μοι μὲ βοηθεῖν, scil. δύνασθαι, ut non possit mihi præsto esse ad opem ferendam. IDEM.

Αὐτοῖς] Non redit hoc eodem, quo modo præmissum αὐτοί, sed ad cives errore deceptos, ut existimarent, nihil judices, considiosos improbos in jure reddendo omnia posse. Redit ergo αὐτοὶ ad sycophantas, αὐτοῖς autem ad τοὺς τούτοις χαριζομένους συμβούλους. eos, qui a consiliis considicorum aequum regerentur, et ab eorum ore penderent. Vitium utique ingens est hæc in usurpandis vocabulis inconstantia et ambiguitas, unde non potest perplexitas et obscuritas sententiarum non existere. [Potest utique αὐτοῖς ad eosdem sycophantas referri, ad quos modo præmissum hos ipse versus αὐτοὶ refertur. si hi quadruplatores a vobis contemnantur, neque, quantumvis contendant et vociferentur, tamen nihil perficiant, nihil apud vos valeant. *In Accus. ad sua Antiph.*] IDEM.

ιδ'. Οὐχ ἥκιστα] Post οὐχ ἥκιστα deesse videtur πιστοῦς. quæ ostenta deorum haud minimum valere solent ad fidem faciendam in ejusmodi causis. IDEM.

Τὰ εἰς τοὺς κινδύνους ἥκοντα] Sunt res bellicæ. τὰ ἔξω τῶν κινδύνων civiles. IDEM.

Ταῦτα] Scil. τὰ ἀπὸ τῶν θεῶν σημεῖα. cujusmodi sunt tempestates, sortes, extæ inauspicatæ, per quæ alioque talia, dii aliquem declarant furem aut sicarium, aut proditorem patriæ, aut incestu pollutum, aliave impurum esse. IDEM.

Μίασμα] Ut si pater e filiis liberos quæsierit. IDEM.

Τοὺς ὁσίως] Malim καὶ τοὺς ὁσίως. IDEM.

ἱερὰ μὴ γίνεσθαι τὰ νομιζόμενα. ἐμοὶ τοίνυν ἐν πᾶσι τούτοις τὰ ἐναντία ἐγένετο. τοῦτο μὲν γὰρ, ὅσοις συνέπλευσα, καλλίστοις ἐχρήσαντο πλοῖς· τοῦτο δὲ, ὅπου ἱεροῖς παρέστην, οὐκ ἔστιν ὅπου οὐχὶ κάλλιστα τὰ ἱερὰ ἐγένετο. ἃ ἐγὼ ἀξιῶ μεγάλα μοι τεκμήρια εἶναι τῆς αἰτίας, ὅτι οὐκ ἀληθῆ μου οὗτοι κατηγοροῦσι. * * * τούτων μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

ἐπίσταμαι δὲ καὶ τάδε, ὦ ἄνδρες δικασταὶ, ὅτι, εἰ μὲν ἐμοῦ κατεμαρτύρουν οἱ μάρτυρες ὥς τι ἀνόσιον γεγένηται ἐμοῦ παρόντος ἐν πλοίῳ ἢ ἐν ἱεροῖς, αὐτοῖς γε τούτοις ἰσχυροτάτοις ἂν ἐχρῶντο, καὶ πίστιν τῆς αἰτίας ταύτην σαφεστάτην ἀπέφαινον, τὰ σημεῖα τὰ ἀπὸ τῶν θεῶν· νῦν δὲ τῶν τε σημείων ἐναντίων τοῖς τούτων λόγοις γιγνομένων, τῶν τε μαρτύρων ἃ μὲν ἐγὼ λέγω μαρτυρούντων ἀληθῆ εἶναι, ἃ δ' οὗτοι κατηγοροῦσι ψευδῆ, τοῖς [1] μὲν μαρτυροῦσιν ἀπιστεῖν ὑμᾶς κελεύουσι, τοῖς δὲ λόγοις οὓς αὐτοὶ λέγουσι πιστεύειν ὑμᾶς χρῆναι φασί. καὶ οἱ μὲν ἄλλοι ἄνθρωποι τοῖς ἔργοις τοὺς λόγους ἐλέγχουσιν, οὗτοι δὲ τοῖς λόγοις ζητοῦσι τὰ 750 ἔργα ἄπιστα καθιστάναι.

ιέ. Ὅσα μὲν οὖν ἐκ τῶν κατηγορηθέντων μέμνημαι, ὦ ἄνδρες, ἀπολελόγημαι· οἶμαι δὲ καὶ ὑμῶν ἀποψηφίσασθαι. ταὐτὰ γὰρ ἐμέ τε [2] σώζει, καὶ ὑμῖν νόμιμα καὶ εὔορκα γίγνεται. κατὰ γὰρ τοὺς νόμους ὠμόσατε δικάσειν· ἐγὼ δὲ καθ' οὓς μὲν ἀπήχθην, οὐκ ἔνοχός εἰμι τοῖς νόμοις, ὧν δ' ἔχω τὴν αἰτίαν, ἀγών μοι νόμιμος ὑπολείπεται. εἰ δὲ δύο ἐξ ἑνὸς ἀγῶνος γεγένησθον, οὐκ ἐγὼ αἴτιος, ἀλλ' οἱ κατή-

[1] μὲν ἐμοὶ μαρτ.

[2] σώσει

Πλοῖς] In dat. plur. a πλοῦς. quod equidem sciam, haud usurpatur, sed πλόοις. Idem.

Κατηγοροῦσι τούτων] Π. κατηγοροῦσι. καί μοί εἰσι τούτων μάρτυρες. ἢ, καί μοι ἀνάβητε τούτων μάρτυρες. H. Stephan. Quorum posterius equidem præferam: possit quoque legi: εἰσὶ δέ μοι καὶ τούτων μάρτυρες. Reisk.

Ὥστε ἀνόσιον] Imo vero ὥς τι. quod aliquid factum sit. idem reperio a Scaligero quoque dudum ante me fuisse annotatum. Idem.

Ἐχρῶντο] Scil. adversarii mei. Idem.

ιέ. Καὶ ὑμῶν ἀποψηφίσασθαι] Π. καὶ ὑμᾶς ὑμῶν ἀποψηφίσασθαι. H. Stephan. Num locus ita sarciendus est: οἶμαι δὲ καὶ ὑμᾶς τοῖς πλείστοις ἱκανὰ δόξειν εἰρηκέναι πρὸς τὸ ἐμοῦ ἀποψηφίσασθαι. spero plerosque vestrum esse opinaturos, me satis multa dixisse ad impetrandam a vobis absolutionem. Reisk.

Οὐκ ἔνοχος] Malim τούτοις οὐκ ἔνοχος. quarum legum prætextu in carcerem abductus fui, tanquam κακοῦργος, illis haud teneor. Idem.

γοροι. καίτοι οὐ δήπου οἱ μὲν ἔχθιστοι οἱ ἐμοὶ δύο ἀγῶνας περὶ ἐμοῦ πεποιήκασιν, ὑμεῖς δὲ οἱ τῶν δικαίων ἴσοι κριταὶ προκαταγνώσεσθέ μου ἐν τῷδε τῷ λόγῳ τὸν φόνον. μὴ ὑμεῖς γε, ὦ ἄνδρες· ἀλλὰ δότε τι καὶ τῷ χρόνῳ, μεθ' οὗ ὀρθότατα εὑρίσκουσιν οἱ τὴν ἀκρίβειαν ζητοῦντες τῶν πραγμάτων. ἠξίουν μὲν γὰρ ἔγωγε περὶ τῶν τοιούτων, ὦ ἄνδρες, εἶναι τὴν δίκην κατὰ τοὺς νόμους, κατὰ μέντοι τὸ δίκαιον ὡς πλει-
751 στάκις ἐλέγχεσθαι. τοσούτῳ γὰρ ἂν ἄμεινον ἐγιγνώσκετο· οἱ γὰρ πολλοὶ ἀγῶνες τῇ μὲν ἀληθείᾳ σύμμαχοί εἰσι, τῇ δὲ διαβολῇ πολεμιώτατοι. φόνου [1]γὰρ δίκη [2]καὶ μὴ ὀρθῶς γνωσθεῖσα [3]ἰσχυρότερον τοῦ δικαίου καὶ τοῦ ἀληθοῦς ἐστίν· ἀνάγκη γὰρ, ἐὰν ὑμεῖς μου καταψηφίσησθε, καὶ μὴ ὄντα φονέα μηδ' ἔνοχον τῷ ἔργῳ χρῆσθαι τῇ δίκῃ καὶ τῷ νόμῳ· καὶ οὐδεὶς ἂν τολμήσειεν οὔτε τὴν δίκην τὴν δεδικασμένην παραβαίνειν, πιστεύσας αὐτῷ ὅτι οὐκ ἔνοχός ἐστιν, [4]οὔτε

[1] γὰρ] * δὲ [2] Deest καί. [3] Ἰσχυροτέρα [4] * οὔτ' οὐ ξυνιδὼς

Προκαταγνώσεσθε] Scil. περὶ τούτου τοῦ χρόνου, τοῦ ὕστερον ἥξοντος, ἐν ᾧ πᾶσα ἡ περὶ τὸν φόνον ἀλήθεια καὶ ζητηθήσεται, καὶ φανερωθήσεται, μᾶλλον ἢ νῦν ἐν ταύτῃ τῇ πανουργίας ἀπολογίᾳ. v. versu 4. IDEM.

Εἶναι τὴν δίκην κατὰ τοὺς νόμους] Opponit orator hoc τῷ ἐλέγχεσθαι πολλάκις, ut rei diversæ. et sunt utique ista diversa. Causa ex legibus, seu juxta processum juris civilis, agitatur, cum crimina, τὰ ἐγκλήματα non commiscentur, sed singula quæque seorsim excutiuntur, ut in hac causa, primum τὸ πανουργίας, tum τὸ φόνου. porro juri civili convenienter causa disceptatur, cum quiescit, postquam semel à judicibus sententia dicta est, neque rursus eadem causa in forum revocatur. Verum κατὰ τὸ δίκαιον seu ex moralitate rei, ut vulgo usurpant, licet eandem causam sæpius etiam pervestigare, atque exagitare, quam per leges non nisi semel licet. Et hoc ait reus paratus ego sum facere, ultroque me offero facturum, ut quicunque rationes innocentiæ meæ me poscat, ei reddam, quotiescunque quisque volet, et in foro, et in privatis congressibus. IDEM.

Ἐγιγνώσκετο] Scil. τὸ ἐμὸν δίκαιον, vel ἡ περὶ τὴν αἰτίαν ἀλήθεια. IDEM.

Χρῆσθαι τῇ δίκῃ καὶ τῷ νόμῳ] Luere, tolerare corpore pœnam a sententia judicum, (quæ est δίκη) et a legibus irrogatam, pœnæ modum imperantibus et judicum sententias gubernantibus. IDEM.

Οὔτ', οὐ ξυνιδὼς] Sic periculo meo dedi, pro vulgari οὔτε ξυνιδὼς. Fateor non solummodo in loco simili, p. 119. 8. colorem esse vulgatæ lectioni, sed et in hoc, quod in lectione a me ingesta perierit antitheton, quod e vulgata exsistit; et antitheta una cum omnibus sophistis Antiphontem captare constat. Opponi atque inter se *conscium* et *non conscium* par erat. Denique mea lectio si probetur, tantundem dicet posteritas colum, atque prius. Hæc hactenus pro vulgari lectione dicta mihi sunto. Sed audiamus quoque ex altera parte, quæ offensiones ei inhæ-rescant. primum, ut sceleris conscius se legis et sententiæ a judicibus dictæ severitati submittat, in eo nil est quod mireris. orator autem docere vult quanta sit legum pœnalium et dicasteriorum causas has tractantium auctoritas, et qui tanti nervi, ut ipsi, qui nullius sceleris sibi sint conscii, tamen, semel condemnati, facere non possint, quominus exsecutioni dictatæ sententiæ se patienter submittant. Deinde, tametsi fatear dictiones, πιστεύσας ὅτι οὐκ ἔνοχός ἐστι τῷ ἔργῳ, et οὐ ξυνιδὼς αὐτῷ τοιοῦτον ἔργον εἰργασμένῳ, aut vere tautologas, aut sententias earum tam inter se finitimas esse, ut tautologæ videantur, eidem Antiphonti tamen, qui alias verborum tam parcus est, non est insolitum, ut easdem sententias intra brevissima spatia ingeminet. vide, ut exemplum demonstrem, memoriæ primum occurrens, p. 119, 2. et 5. ubi de spe disputans, cum dixisset τὰ πλείω τῶν ἀνθρώπων τοῦ βίου ἐν ταῖς ἐλπίσιν ἐστί, statim subjicit ὅσῳ ἐστὶ μάγιστον ἀνθρώποις τοῦ βίου ἀγαθόν.

ξυνειδὼς αὐτῷ τοιοῦτον ἔργον εἰργασμένῳ μὴ οὐ χρῆσθαι 752
τῷ νόμῳ. ἀνάγκη δὲ τῆς δίκης νικᾶσθαι παρὰ τὸ ἀληθὲς
αὐτοῦ τε τοῦ ἀληθοῦς, ἄλλως τε καὶ ἐὰν μὴ ᾖ ὁ τιμωρή-
σων. αὐτῶν δὲ τούτων ἕνεκα οἵ τε νόμοι καὶ αἱ διωμοσίαι
καὶ τὰ τόμια καὶ αἱ προῤῥήσεις, καὶ τἆλλ' ὁπόσα γίγνεται
τῶν δικῶν ἕνεκα τοῦ φόνου, πολὺ διαφέροντά ἐστιν ἢ καὶ
ἐπὶ τοῖς ἄλλοις, ὅτι καὶ αὐτὰ τὰ πράγματα, περὶ ὧν οἱ 753
140. 1 κίνδυνοι, περὶ πλείστου ἐστὶν ὀρθῶς γιγνώσκεσθαι· ὀρθῶς
μὲν γὰρ γνωσθέντα τιμωρία ἐστὶ τῷ ἀδικηθέντι, φονέα δὲ
τὸν μὴ αἴτιον ψηφισθῆναι ἁμαρτία καὶ ἀσέβειά ἐστιν εἴς τε
τοὺς θεοὺς καὶ εἰς τοὺς νόμους. καὶ οὐκ ἴσον ἐστὶ τόν τε
διώκοντα μὴ ὀρθῶς [1] αἰτιάσασθαι καὶ ὑμᾶς τοὺς δικαστὰς
μὴ ὀρθῶς γνῶναι. ἡ μὲν γὰρ τούτων αἰτίασις οὐκ ἔχει τέλος,
ἀλλ' ἐν ὑμῖν ἐστὶ καὶ τῇ δίκῃ· ὅ τι δ' ἂν ὑμεῖς ἐν αὐτῇ τῇ
δίκῃ μὴ ὀρθῶς γνῶτε, τοῦτο οὐκ ἔστιν ὅποι ἄν τις ἀνεν-
εγκὼν τὴν ἁμαρτίαν ἀπολύσαιτο. πῶς ἂν οὖν ὀρθῶς δικά-
σητε περὶ αὐτῶν; εἰ τούτους τε ἐάσετε τὸν νομιζόμενον ὅρ-
κον διομοσαμένους κατηγορῆσαι, κἀμὲ περὶ αὐτοῦ τοῦ πρά-

[1] αἰτιᾶσθαι

Adhaerescit hoc vitium, supervacanea sine necessitate et cum taedio inculcandi, et contra dictu necessaria dissimulandi, antiquis hoc magis, quo sunt antiquiores. Quicquid hujus rei est, utcunque de mea conjectura arbitri pronuntiabunt, haec ejus est sententia: οὔτε τολμήσειεν ἄν τις μάχεσθαι πρὸς τὸν νόμον [nam haec dictio aequipollet Antiphonteae, μὴ οὐ χρῆσθαι τῷ νόμῳ] διὰ τὸ συνειδέναι ἑαυτῷ, ὅτι οὐκ εἴργασται τοιοῦτόν τι. Idem.

Τῆς δίκης νικᾶσθαι παρὰ τὸ ἀληθὲς] Ἡ δίκη h. l. est, ut paulo ante quoque erat, ἡ καταδίκη, vel κρίσις τῶν δικαστῶν. tametsi prava et iniqua sit sententia de te a judicibus lata, facere tamen non possis quominus ei cedas, et ab ejus iniquitate prosternaris, invita et violata veritate. Pari modo νικᾶσθαι τοῦ ἀληθοῦς [id est, νικᾶσθαι ἐν λόγῳ τοῦ ἀληθοῦς] vinci ratione, vel respectu veri, est, excludi vero, impedire non posse, quominus id, quod falsum reapse est, verum nihilominus tamen videatur atque habeatur. facere non posse, quo minus tibi verum extorqueatur et eripiatur. cogi per vim, ad agnoscendum aliquid pro vero, tametsi invitus id facias, et verum esse neges. Idem.

Αἱ προῤῥήσεις] Significatur illud genus denuntiationum, quum necessarius occisi, ille, qui se effusi sanguinis ultorem fert, homicidae denuntiat, ut caveat ad loca vetita accedere, quo venire homicidis per leges non licet; cum interminatione, si contra fecerit, se facturum, ut ille in carcerem abducatur, et judicio criminali tradatur. v. p. 145, 23. et 29. 146, 8. 147, 8. ed. Steph. Idem.

Ἐπὶ τοῖς ἄλλοις] Subaudi, sive δικαστηρίοις, sive ἐγκλήμασι. aliis in tribunalibus, ubi nullae caedium causae agitantur. aut aliis in criminibus, a crimine caedis diversis. Possit quoque ἐπὶ ταῖς ἄλλαις legi, δίκαις puta. sed bene habere vulgatam, constat e p. 141, pen. ed Steph. ubi locus hic iisdem hisce verbis iteratur. Idem.

Οἱ κίνδυνοι] Num τοιοῦτοι est interponendum? Idem.

Οὐκ ἔχει τέλος] Caret effectu. reus caedis ab accusatore factus, nondum peractus, neque dum a judicibus condemnatus, non ideo statim capite plectitur, quod accusatus fuit. sed dum demum accipit accusatio vim, et effectum edit, cum ad eam condemnans judicum accesserit sententia. nam penes judices, et in exsecutione praeceptorum juris scripti, continetur finis, exitus, efficacia judicii, ut aut absolvatur, aut puniatur. Idem.

γματος ἀπολογήσασθαι. πῶς δὲ ἐάσετε; ἐὰν νυνὶ ἀποψη-
754 φίσησθέ μου. διαφεύγω γὰρ οὐδ' οὕτω τὰς ὑμετέρας γνώ-
μας, ἀλλ' ὑμεῖς ἔσεσθε οἱ κἀκεῖ περὶ ἐμοῦ διαψηφιζόμενοι. 10
καὶ ἀποψηφισαμένοις μὲν ὑμῖν ἐμοῦ νῦν ἔξεστι τότε [1] χρῆ-
σθαι ὅ τι δὴ βούλεσθε, ἀπολογήσασθαι οὐδὲ βουλεύσασθαι
ἔτι περὶ ἐμοῦ ἐγχωρεῖ. καὶ μὴν εἰ δέοι ἁμαρτεῖν [2] ἐπί τῳ,
ἀδίκως ἀπολῦσαι ὁσιώτερον ἂν ἢ τοῦ μὴ δικαίως ἀποκτεῖναι·
τὸ μὲν γὰρ μόνον ἁμάρτημά ἐστι, τὸ δὲ ἕτερον καὶ ἀσέβημα.
ἐν ᾧ χρὴ πολλὴν πρόνοιαν ἔχειν, μέλλοντας ἀνήκεστον
ἔργον ἐργάζεσθαι. ἐν μὲν γὰρ ἀκεστῷ πράγματι καὶ ὀργῇ 15
χρησαμένους καὶ διαβολῇ πειθομένους ἔλαττόν ἐστιν ἐξα-
μαρτεῖν· μεταγνοὺς γὰρ ἔτι ἂν ὀρθῶς βουλεύσαιτο· ἐν δὲ
755 τοῖς ἀνηκέστοις πλέον βλάβος τὸ μετανοεῖν καὶ γνῶναι ἐξη-
μαρτηκότας. ἤδη δέ τισιν ὑμῶν καὶ μετεμέλησεν ἀπολωλε-
κόσι. καίτοι οὔπω ὑμῖν τοῖς ἐξαπατηθεῖσι μετεμέλησεν, εἰ
καὶ πάνυ τι χρή, τούς γε ἐξαπατῶντας ἀπολωλεκέναι.
ἔπειτα δὲ τὰ μὲν ἀκούσια τῶν ἁμαρτημάτων ἔχει συγγνώ- 20
μην, τὰ δὲ ἑκούσια οὐκ ἔχει· τὸ μὲν γὰρ ἀκούσιον ἁμάρ-
τημα, ὦ ἄνδρες, τῆς τύχης ἐστί, τὸ δὲ ἑκούσιον τῆς γνώμης.
ἑκούσιον δὲ πῶς ἂν εἴη μᾶλλον ἢ εἴ τις, ὧν βουλήν ποιοῖτο,
ταῦτα παραχρῆμα ἐργάζοιτο; καὶ μὴν τὴν ἴσην γε δύνα-
μιν ἔχει, ὅστις τε ἂν τῇ χειρὶ ἀποκτείνῃ ἀδίκως καὶ ὅστις
τῇ ψήφῳ. εὖ δ' ἴστε ὅτι οὐκ ἄν ποτ' ἦλθον εἰς τὴν πόλιν,
εἴ τι ξυνήδειν ἐμαυτῷ τοιοῦτον· νῦν δὲ πιστεύων τῷ δικαίῳ, 25

[1] χρῆσθαι ἔτι· ἃ δὲ βούλεσθε ψηφισαμένοις, οὐδὲ [2] ἐπὶ τῷ διδάξειν τὸ δίκαιος

Πῶς δ' ἐάσετε] Scil. ἐμὲ περὶ τοῦ πράγματος ἀπολογεῖσθαι. IDEM.

Νυνὶ] Nunc enim defendo vel purgo crimen mihi oblatum τῆς κακουργίας, negans, me furem aut latronem esse. IDEM.

Κἀκεῖ] Etiam tum, in altero posteriore judicio, cum crimen cædis mihi defendendum erit. p. 116, 7. IDEM.

Ἀνηκέστων] Π. ἀνήκεστον ἔ. ἰ.. ἐν μὲν γὰρ ἀκεστῷ πράγματι. H. STEPHAN.

Ἔλαττον] Aut adde, aut subaudi certe, sive βλάβος solum, sive ἐς βλάβος. REISK.

Πλέον βλάβος] Id est, μεῖζον βλάβος, damnum est, vel noxia, insontem morte muletasse. sed accedit ad hanc noxiam adhuc alia, per quam illa major fit, seu increscit, hæc puta, ut tu agnoscas errorem tuum, ejusque crucieris pœnitentia inutili, cum res facta reprehendi et infecta fieri jam non amplius possit. IDEM.

Γνῶναι ἐξημαρτηκότας] Id est, γνῶναι ὅτι ἐξημαρτήκασιν. IDEM.

Ἀπολωλεκόσι] Videtur hic deesse τοὺς ἐξαπατήσαντας ἑαυτούς. IDEM.

Τοῖς ἐξαπατηθεῖσι] Malim τοῖς abesse. IDEM.

Μετεμέλησεν] Adde οὐκ ἀπολωλεκέναι. vos nondum pœnituit, non pessumdedisse eos, si qui vos decepissent; tametsi vel maxime oportet pessumdare eos certe, si qui judices mendaciis circumvenient. IDEM.

Πιστεύων] Π. πιστεύω. ἀ, μετὰ τοῦ πιστεύων δεῖ ὑπακούειν τὸ ἦλθον. H. STEPHAN. Recte hoc posterius. Possit tamen, id quod equidem præferam, ad ἦλθον p. 115, 8. referri et cum eo copulari πιστεύων, ubi

[1] οὗ πλέονος οὐδέν ἐστιν ἄξιον ἀνδρὶ συναγωνίζεσθαι, μηδὲν 756
αὑτῷ συνειδότι ἀνόσιον εἰργασμένῳ μήτ' εἰς [2] τοὺς θεοὺς ἠσε-
βηκότι, ἐν γὰρ τῷ τοιούτῳ ἤδη καὶ τὸ σῶμα ἀπειρηκὸς ἡ
ψυχὴ συνεξέσωσεν, ἐθέλουσα ταλαιπωρεῖν διὰ τὸ μὴ ξυνει-
δέναι ἑαυτῇ, τῷ δὲ ξυνειδότι τοῦτο αὐτὸ πρῶτον πολέμιόν
ἐστιν· ἔτι γὰρ καὶ τοῦ σώματος ἰσχύοντος ἡ ψυχὴ προα-
πολείπει, ἡγουμένη τὴν τιμωρίαν οἱ ἥκειν ταύτην τῶν [3] ἀσε-
βημάτων, ἐγὼ δ' ἐμαυτῷ τοιοῦτον οὐδὲν ξυνειδὼς ἥκω εἰς
ὑμᾶς. τὸ δὲ τοὺς κατηγόρους διαβάλλειν οὐδέν ἐστι θαυμα-
στόν. τούτων γὰρ ἔργον τοῦτο, ὑμῶν δὲ τὸ μὴ πείθεσθαι
τὰ [4] μὴ δίκαια. τοῦτο μὲν γὰρ ἐμοὶ πειθομένοις ὑμῖν μετα- 757
μελῆσαί ἐστι, καὶ τούτου φάρμακον τὸ αὖθις κολάσαι, τοῦ
δὲ τούτοις πειθομένους ἐξεργάσασθαι ἃ οὗτοι βούλονται
οὐκ ἔστιν ἴασις. οὐδὲ χρόνος πολὺς ὁ διαφέρων, ἐν ᾧ ταῦτα
νομίμως πράξεθ' ἃ νῦν ὑμᾶς παρανόμως πείθουσιν οἱ κα-
τήγοροι ψηφίσασθαι. [5] οὔ τοι τῶν ἐπειγομένων ἐστὶ τὰ πρά-
γματα, ἀλλὰ τῶν εὖ βουλευομένων. νῦν μὲν οὖν γνωρισταὶ 758
γίνεσθε τῆς δίκης, τότε δὲ δικασταὶ τῶν μαρτύρων· νῦν μὲν

[1] (οὗ - - ad v. 8. ξυνειδὼς), [2] Deest τούς. [3] ἠσεβηκότων [4] Deest μή. [5] οὔ τι

oratio longe ambitu interpellata rursus restauratur et continuatur. quapropter interjecta omnia signis parentheseos distinxi. Reisk.

Οὗ πλέονος etc.] Idem est, ac si dixisset: οὗ οὐδὲν ἄλλο ἐστὶν ἀξιώτερον, καὶ ἐντιμότερον, καὶ περὶ πλείονος ποιητέον ἀνδρὶ πρὸς τὴν συμμαχίαν ἐν τῷ ἀγῶνι. Idem.

Τοῦτο αὐτὸ] Scil. τὸ συνειδέναι ἑαυτῷ ἠδικηκότι ἢ ἠσεβηκότι. Idem.

Προαπολείπει] Num προεπιλείπει? Idem.

Ταύτην] Idem est ac si dixisset: τοῦτο, ὃ πάσχει νῦν, ἥκειν αὐτῷ ὡς τιμωρίαν τῶν ἠσεβημένων. hoc malum, quod nunc patiatur, sibi venire velut pœnam impiorum facinorum a se commissorum. Idem.

Ἠσεβηκότων] Imo vero ἠσεβημένων, scil. ὑφ' ἑαυτοῦ. Idem. Ἀσεβημάτων dedi, partim libris MSS. partim Bekkero obsecundans.

Διαβάλλειν] Scil. ἐμέ. Reisk.

Τὸ μὴ πείθεσθαι τὰ δίκαια] Π. τὸ μὴ πείθεσθαι παρὰ τὰ δίκαια. H. Stephan. Num τὸ μὴ πείθεσθαι τὰ μὴ δίκαια. non pati vos orationibus captiosis impelli ad res iniquas. Vulgata si defendatur, erit dictio τὰ δίκαια reddenda sic: quatenus cum æquo et justo convenit, hactenus non cedere, neque esse in potestate aliena. Vel leg. παρὰ τὰ δίκαια. Reisk.

Τοῦτο μὲν γὰρ] Ergone statuemus τοῦτο μὲν interdum sic projici, tametsi a socio suo τοῦτο δὲ destitutum? An contendemus potius, paulo post versu 12. leg. esse: τοῦτο δὲ τοῦ τούτοις πειθομένους. Idem.

Τοῦ δὲ τούτοις] Sic dedi de meo, provulgari τοὺς δὲ τούτοις. cohæret τοῦ cum ἐξεργάσασθαι. hujus autem imprudentiæ medela nulla sit, si vos in horum auctoritate sitis, et, quæ hi præcipiunt, faciatis. Idem.

Χρόνος — διαφέρων] Διαφέρων χρόνος est temporis illud spatium, quod inter propositum animo nunc agitatum et exsecutionem ejus intercedit. haud magnum erit illud intervallum, quod proposito vestro homicidam occidendi intercedet. nam paulo post, ubi veri percussores indagati et reperti fuerint, licebit vobis in sontibus jure merito facere id idem, quod si nunc in me faciatis, ab his adversariis meis inducti, summum nefas commiseritis. Idem.

Οὔτι] Malim οὐχί, vel οὔ τοι. nequaquam res, h. e. prospera et sapiens rerum tractatio, est festinantium. Idem.

Τὰ πράγματα] Id est, τὸ κατορθοῦν τὰ πράγματα. Idem.

δοξασταὶ, τότε δὲ κριταὶ τῶν ἀληθῶν. ἀραῖς τῶν δέ τοι
ἐστὶν ἀνδρὸς περὶ θανάτου φεύγοντος τὰ ψευδῆ καταμαρτυ-
ρῆσαι. ἐὰν γὰρ τὸ παραχρῆμα μόνον πείσωσιν ὥστε ἀπο- 40
759 κτεῖναι, ἅμα τῷ σώματι καὶ ἡ τιμωρία ἀπόλωλεν. οὔτε
γὰρ οἱ φίλοι ἔτι θελήσουσιν ὑπὲρ ἀπολωλότος τιμωρεῖν· ἐὰν
δὲ καὶ βουληθῶσι, τί ἔσται πλέον τῷ γε ἀποθανόντι; νῦν
μὲν οὖν ἀποψηφίσασθέ μου· ἐν δὲ τῇ τοῦ φόνου δίκῃ οὗτοί
τε τὸν νομιζόμενον ὅρκον διομοσάμενοι ἐμοῦ κατηγορήσουσι,
καὶ ὑμεῖς περὶ ἐμοῦ κατὰ τοὺς κειμένους νόμους διαγνώσε-
σθε, καὶ ἐμοὶ οὐδεὶς λόγος [1] ἔσται ἔτι, ἐάν γε [2] πάσχω, ὡς 141. 1
παράνομος ἀπωλόμην. ταῦτά τοι δέομαι ὑμῶν, οὔτε τὸ
ὑμέτερον εὐσεβὲς παρεὶς οὔτε ἐμαυτὸν ἀποστερῶν τὸ δί-
760 καιον· ἐν δὲ τῷ ὑμετέρῳ ὅρκῳ καὶ ἡ ἐμὴ σωτηρία ἔνεστι.
πειθόμενοι δὲ τούτων ὅτῳ βούλεσθε, ἀποψηφίσασθέ μου.

[1] Deest ἔσται. [2] πάσχων ὡς * παρανόμως ἀπόλωμαι

Δοξασταὶ] Post δοξασταὶ videtur τῶν ἀδήλων deesse, quod credibile facit subjectum isti oppositum κριταὶ τῶν ἀληθῶν. Idem.

Ἀραῖς τῶν δέ τοι ἐστὶν] Π. ἀράσιμον δέ τοι &c. ἢ, δέ τι &c. H. Stephan. Scribamus: χρηστῶν δέ τοι &c., ut et χρηστοὺς dixisse censeatur per ironiam. *In Diatrib. in Eurip. P. D. Reliq.* Valckenaer. Duo vocabula ἀραῖς τῶν Scaliger in unum ἀπαισίων contrahebat, sententia, aut nulla, aut dura et perplexa. Ecquæ enim hæc sententia erit: *infaustorum autem est* — Mihi probabilius videtur, et literarum vestigiis convenientius: ἆρα ἴστ' [id est, ἴστε] ὦ ἄνδρες, οἷον — num etiam nostis, o viri — ? num tenetis? num unquam in mentem vobis venit expendere, quale, quantum facinus sit —? Reisk. Si in hoc ironiam duxeris esse, quid si, ἀρίστων δέ τοι &c. legeris?

Μόνον] Post μόνον videtur ὁρῶντες deesse. si solum præsens spectantes vos permoverint ad pœnam mortis in me decernendam. hoc est, si nulla ducantur ratione futuri temporis, et noxarum ex hac crudelitate postmodum necessario proventurarum, sed solummodo studeant suam sanguinis mei sitim satiare, odiique, quo me prosequuntur, immanitati satisfacere. Idem.

Πείσωσιν ὥστε ἀποκτεῖναι] Integre dixisset sic: πείσωσιν ὑμᾶς, ὥστε ἐμὲ ἀποκτεῖναι. Usurpavit hic Antiphon ista duo vocabula πείσωσιν et ὥστε significatu primigenio. πείθειν enim proprie et stirpitus, ut ita dicam, fune ligatum perducere vel pertrahere aliquo. et ὥστε tantundem est atque πρός. est itaque πείσωσιν ὥστε tantundem atque ἕλξωσι πρὸς τὸ ἀποκτεῖναι. Annotandum hoc, quod multis leviculum et putidum videbitur, ideo duxi, quod ὥστε cum πείθειν copulatum raro inveniatur. Vel possunt verba sic accipi, ac si hunc ad modum structa essent: ἐὰν μόνον ὑμᾶς πείσωσιν ἐμὲ παραχρῆμα ἀποκτεῖναι. si hoc tantummodo perfecerint, ut sua oratione moti, vos me protinus nil cunctati occidatis. Idem.

Σώματι] Scil. τῷ ἐμῷ, ἐὰν φονευθῶ. Idem.

Ἡ τιμωρία] h. l. est vindicta, ultio mei sanguinis. Idem.

Ὑπὲρ ἀπολωλότος] Aut interpone articulum τοῦ, aut subaudi ἀνδρὸς et ad ἀπολωλότος adde tacita mente ἀδίκως. non hic designatur Herodes, sed defensor hujus causæ. quasi si dixisset ὑπὲρ ἐμοῦ ἀπολωλότος. amici mei nil curabunt sanguinem meum ulcisci. Idem.

Πάσχων] Imo vero πάσχω in conjunctivo, *siquidem patiar*, scil. mortis pœnam. h. e. si nempe fiat, ut tum condemner, et extremum supplicium corpore tolerem. Idem.

Τούτων] Horum (quos digito defensor demonstrat hæc dicens), advocatorum meorum; non accusatorum. vel etiam, horum capitum defensionis meæ, quæ pro me dicens hactenus exposui. Idem.

ΑΝΤΙΦΩΝΤΟΣ

ΠΕΡΙ ΤΟΥ ΧΟΡΕΥΤΟΥ

ΛΟΓΟΣ.

ΥΠΟΘΕΣΙΣ.

ΠΟΣΟΙ μὲν εἰσιν Ἀθήνησι χορηγοὶ, καὶ τίνος προβάλλονται χάριν, καὶ πόσους τρέφειν ἀναγκάζονται παῖδας, ἐκ τῶν Δημοσθένους ἀκριβῶς ἔγνωμεν λόγων. ὁ μὲν τοίνυν ἐν τοῖς χρόνοις Ἀντιφῶντος τοῦ ῥήτορος χορηγός τις εἶναι λαχὼν τῆς αὐτοῦ φυλῆς Ἐρεχθηΐδος, καὶ προσέτι Κεκροπίδος, τοὺς χορεύειν μέλλοντας ἐπὶ τῆς οἰκίας ἔτρεφε παῖδας. τούτων εἷς εὐφωνίας χάριν ἔπιε φάρμακον, καὶ πιὼν τέθνηκεν. ὁ οὖν πατὴρ τοῦ τεθνεῶτος παιδὸς κατηγορεῖ τοῦ χορευτοῦ, ὡς αὐτοῦ πεποιηκότος τὸν φόνον. ἀπολογεῖται δὲ ὁ χορευτὴς ἀρνούμενος τὸν φόνον. Ἡ στάσις στοχασμός. ἀδήλου τοῦ ἐγκλήματος ὄντος, σημεῖον φανερὸν ὁ κατήγορος λαμβάνει τὸ ἐν τῇ οἰκίᾳ τοῦ χορευτοῦ γυμνάζεσθαι τοὺς παῖδας· ὅπερ ἐστὶν ἀνεύθυνον μὲν, πιθανὸν δ' εἰς ὑποψίαν. 761

---

15 α'. ΗΔΙΣΤΟΝ μὲν, ὦ ἄνδρες δικασταὶ, ἀνθρώπῳ ὄντι μὴ γενέσθαι μηδένα κίνδυνον περὶ τοῦ σώματος, καὶ εὐχόμενος ἄν τις ταῦτα εὔξαιτο· εἰ δ' ἄρα τις καὶ ἀναγκάζοιτο κινδυνεύειν, τοῦτο γοῦν ὑπάρχειν, ὃ μέγιστον ἐγὼ νομίζω ἐν πράγματι τοιούτῳ, αὐτὸν ἑαυτῷ συνειδέναι μηδὲν ἐξημαρτη-
20 κότι, ἀλλ', εἴ τις καὶ συμφορὰ [1] γίγνοιτο, ἄνευ κακότητος καὶ αἰσχύνης γίγνεσθαι, καὶ τύχῃ μᾶλλον ἢ ἀδικίᾳ. καὶ τοὺς μὲν νόμους οἳ κεῖνται περὶ τῶν τοιούτων πάντες ἂν ἐπαινέσειαν κάλλιστα νόμων κεῖσθαι καὶ ὁσιώτατα. ὑπάρχει μὲν γὰρ αὐτοῖς ἀρχαιοτάτοις εἶναι ἐν τῇ γῇ ταύτῃ, ἔπειτα τοὺς αὐτοὺς [2] αἰεὶ περὶ τῶν αὐτῶν, ὅπερ μέγιστον σημεῖον νόμων καλῶς κειμένων· ὁ χρόνος γὰρ καὶ ἡ ἐμπειρία

[1] γένοιτο [2] ἀεὶ

ΧΟΡΕΥΤΟΥ] Choreuta est ille munerarius, qui pueros in Liberalibus aliisque ludis publice saltaturos, a saltandi magistro doceri et exerceri, ære suo curabat. Initium orationis hujus cum pæne iisdem verbis jam in superiori oratione XIV. legatur, p. 131, 4. quæ hic vitiosa occurrent, ut supra jam notata, prætermittam. In argumento hujus or. versu 3. dedi, auctore Scaligero, ἐρεχθηΐδος, pro vulgari ἐρεχθίδος. IDEM.

Ἐρεχθίδος] Lege Ἐρεχθηΐδος. V. p. 142, v. 17. ed. Steph. TAYLOR.

α'. Γενέσθαι] Subaudi αὐτῷ. REISK.

Τοιούτῳ] F. τούτῳ. TAYLOR.

Ἐπαινέσειαν] Bene si habet, accipi debet pro συναινέσειαν annuant, consentiant. aut pro ἐπαινοῦντες φάσκοιεν. laudantes aiant, h. e. cum aiant, tum una quoque laudent. In superiori loco, p. 131, 4. ed. Steph. ubi hæc sententia pæne iisdem verbis prostat edita, legitur πάντες ἂν ὁμολογήσειαν. REISK.

762 τὰ μὴ καλῶς ἔχοντα διδάσκει τοὺς ἀνθρώπους. ὥστ' οὐ δεῖ
ἐκ τῶν λόγων τοῦ κατηγοροῦντος ὑμᾶς τοὺς νόμους μαθεῖν,
εἰ καλῶς ἔχουσιν ἢ μή, ἀλλ' ἐκ τῶν νόμων τοὺς τούτων λό-
3 γους, εἰ ὀρθῶς ὑμᾶς καὶ νομίμως διδάσκουσιν ἢ οὔ. ὁ μὲν
οὖν ἀγὼν ἐμοὶ μέγιστος τῷ κινδυνεύοντι καὶ διωκομένῳ·
ἡγοῦμαι μέντοι γε καὶ ὑμῖν τοῖς δικασταῖς περὶ πολλοῦ εἶ-
ναι τὰς φονικὰς [1]δίκας ὀρθῶς διαγιγνώσκειν, μάλιστα μὲν
τῶν θεῶν ἕνεκα καὶ τοῦ εὐσεβοῦς, ἔπειτα δὲ καὶ ὑμῶν αὐ-
τῶν. ἔστι μὲν γὰρ περὶ [2]τοῦ τοιούτου αὐτοῦ μία δίκη· αὕτη
δὲ μὴ ὀρθῶς καταγνωσθεῖσα ἰσχυροτέρα ἐστὶ τοῦ δικαίου
4 καὶ τοῦ ἀληθοῦς. ἀνάγκη γὰρ, ἐὰν ὑμεῖς καταψηφίσησθε,
καὶ μὴ ὄντα φονέα μηδ' ἔνοχον τῷ ἔργῳ χρήσασθαι τῇ δίκῃ
[3]καὶ νόμῳ εἴργεσθαι πόλεως, ἱερῶν, θυσιῶν, ἀγώνων, ἅπερ
763 μέγιστα καὶ παλαιότατα τοῖς ἀνθρώποις. τοσαύτην γὰρ
ἀνάγκην ὁ νόμος ἔχει, ὥστε καὶ ἄν τις κτείνῃ τινὰ ὧν αὐ-
τὸς κρατεῖ, καὶ μὴ ἔστιν ὁ τιμωρήσων, τὸ νομιζόμενον καὶ

[1] Deest δίκας. [2] Deest τοῦ. [3] καὶ τῷ νόμῳ εἴργ.

Τοῦ κατηγοροῦντος] Aut hic τῶν κατηγορούντων est leg. aut paulo post τοὺς τούτου [non τούτων] λόγους. IDEM.

Διδάσκουσιν] Adde τὸ πρᾶγμα, quod supra legitur additum. IDEM.

Περὶ τοιούτου αὐτοῦ μία δίκη] Hæc verba p. 139, 35. ed. Steph. non leguntur, ubi leguntur insequentia. Pro αὐτοῦ videtur αὕτη. et tum erit eorum sententia hæc: de re tali et tanta non nisi semel judicatur, hoc ipso judicio. non denuo ad examen revocatur. [Non satis placet neque αὐτοῦ, neque αὕτη, quod ibi suadebam. Quid si magis convenire censeatur πᾶσι. in ejusmodi causis non est nisi unica reis omnibus proposita defensio. vel ἁπάντων. quod eodem redit. *In Access. ad sua Antiph.*] IDEM.

Καταγνωσθεῖσα] In superiori exemplo est simplex γνωσθεῖσα, quod nescio an præstet. IDEM.

Χρήσασθαι] Supra est in præs. χρῆσθαι. IDEM.

Εἴργεσθαι] Præpone copulam καί. Si καὶ minus placeat addi, leg. erit χρησέμενον pro χρήσασθαι. IDEM.

Ἀγώνων] Exsuli enim cædis causa facto etiam concelebratione ludorum, ad quos Græci omnes coibant, interdicebatur. Nescio quoque an ἀγορᾶς, ἀγώνων sit legendum. Sive forum, quod in Urbe erat, exercendis judiciis et commerciis consecratum, sive fora illa designentur hoc vocabulo, ad quæ finitimi inter se convenire solebant, in limitibus agrorum cuique suorum sita, permutandarum mercium causa. Dices voc. ἀγορᾶς in voc. πόλεως contineri. Recte mones. Verum tamen, hoc si probamus, etiam illis duobus vocabulis, ἱερῶν et θυσιῶν carere poterimus. Ecquis enim est, qui neget fana et sacra partem civitatis esse. Verum πόλις hic est jus civitatis, h. e. jus civem se gerendi et jura civibus competentia usurpandi; quamquam solum urbis et ædificia eo non exclusum imus. IDEM.

Παλαιότατα] Latine quidem diceremus, rebus istis nihil hominibus sanctius aut *antiquius* haberi, sive earundem curam hominibus *antiquissimam* esse: sed istius ætatis Græcis hoc sensu non arbitror usitatum παλαιότατα, sed τιμιώτατα, quod, iisdem pæne ductibus literarum constans, non dubitanter Antiphonti restituerem: τὰ τιμιώτατα talia dixere Demosth. p. 176. med. Dionys. Hal. t. ii. p. 171, 34. 311, 35. *In Diatrib. in Eurip. Dr. P. Reliq.* VALCKENAER. Antiquissima, h. e. carissima, maxime venerabilia, summi ob antiquitatis reverentiam facienda. REISK.

Αὐτὸν] Π. αὐτός. H. STEPHAN.

Καὶ μὴ ἔστιν] Fort. καὶ ᾧ μὴ ἔστιν, *et cui non est*. REISK.

Τὸ νομιζόμενον] Jus civile usu publico sancitum. Sententia est: servum qui suum occiderit, tametsi nemo futurus sit

τὸ θεῖον δεδιὼς ἀγνεύει τε ἑαυτὸν καὶ ἀφέξεται ὧν εἴρηται 764
ἐν τῷ νόμῳ, ἐλπίζων οὕτως ἂν ἄριστα πράξειν. ἔστι μὲν γὰρ τὰ πλείω τοῖς ἀνθρώποις τοῦ βίου ἐν ταῖς ἐλπίσιν· ἀσεβῶν δὲ καὶ παραβαίνων τὰ εἰς τοὺς θεοὺς καὶ αὐτῆς ἂν τῆς ἐλπίδος, ὅπερ ἐστὶ μέγιστον [1]ἀνθρώποις ἀγαθόν, αὐτὸς αὑτὸν ἀποστεροίη. καὶ οὐδεὶς ἂν τολμήσειεν [2]οὔτε τὴν
40 δίκην τὴν δεδικασμένην παραβαίνειν, πιστεύσας ὅτι οὐκ ἔνοχός ἐστι τῷ ἔργῳ, οὔτ' αὖ συνειδὼς αὐτὸς αὑτῷ ἔργον εἰργασμένος τοιοῦτον μὴ οὐ χρῆσθαι τῷ νόμῳ· ἀνάγκη δὲ τῆς τε δίκης νικᾶσθαι παρὰ τὸ ἀληθὲς, αὐτοῦ τε τοῦ ἀλη- 2
θοῦς, κἂν μὴ ὁ τιμωρήσων ᾖ. αὐτῶν δὲ τούτων ἕνεκα οἵ τε 6
νόμοι καὶ αἱ διωμοσίαι καὶ τὰ τόμια καὶ αἱ προρρήσεις, καὶ τἄλλ' ὅσα γίνεται τῶν δικῶν τοῦ φόνου ἕνεκα, πολὺ
142. 1 διαφέροντά ἐστιν ἢ ἐπὶ τοῖς ἄλλοις, ὅτι καὶ αὐτὰ τὰ πράγματα, περὶ ὧν οἱ κίνδυνοι, περὶ πλείστου ἐστὶν ὀρθῶς γιγνώσκεσθαι· ὀρθῶς μὲν γὰρ γνωσθέντα τιμωρία ἐστὶν ὑπὲρ τοῦ ἀδικηθέντος, φονέα δὲ τὸν μὴ αἴτιον ψηφισθῆναι ἁμαρτία καὶ ἀσέβεια εἴς τε τοὺς θεοὺς καὶ τοὺς νόμους. καὶ 765
οὐκ ἴσον ἐστὶ τόν τε διῶκοντα μὴ ὀρθῶς [3]αἰτιάσασθαι καὶ
5 ὑμᾶς τοὺς δικαστὰς μὴ ὀρθῶς γνῶναι. ἡ μὲν γὰρ τούτου αἰτίασις οὐκ ἔχει [4]νῦν τέλος, ἀλλ' ἐν ὑμῖν ἐστὶ καὶ τῇ δίκῃ· ὅ τι δ' ἂν ὑμεῖς μὴ ὀρθῶς γνῶτε, τοῦτο οὐκ ἔστιν [5]ὅποι ἂν ἀνενεγκών τις τὴν αἰτίαν ἀπολύσαιτο.

Ϛ'. Ἐγὼ δὲ, ὦ ἄνδρες, οὐ τὴν αὐτὴν γνώμην ἔχω περὶ 7
τῆς ἀπολογίας, ἥνπερ οἱ κατήγοροι περὶ τῆς κατηγορίας. οὗτοι γὰρ τὴν μὲν δίωξιν εὐσεβείας ἕνεκά φασι [6]ποιεῖσθαι καὶ τοῦ δικαίου, τὴν δὲ κατηγορίαν ἅπασαν πεποίηνται

[1] ἀνθρώπως τοῦ βίου ἀγαθὸν [2] οὔτ' ἂν τὴν δ. τ. διδομασμένην [3] αἰτιᾶσθαι
[4] [νῦν] [5] ὅπη [6] ποιεῖσθαι

ejus vindex, tamen, si herus jus divinum humanumque revereatur, abstinebit se iis locis, quorum frequentatione lex homicidis interdicit. IDEM.

Ἀγνεύει] Imo vero ἁγνεύσει in futuro, ob insequens ἀφέξεται. de hoc quidem vix supersit dubium; at illud nondum satis intelligo, qui homicida sola abstinentia a locis vetitis ἁγνὸς purus fieri possit. IDEM.

Διδομασμένην] Π. Διδικασμένην. Οὕτω γὰρ ἐν τῷ περὶ τούτου λόγῳ [p. 139, 38.]. H. STEPHAN.

Κἂν] Lege e superiori exemplo, ἄλλως τε καὶ ἐάν. REISK.

Ἐν ὑμῖν ἐστὶ καὶ τῇ δίκῃ] Idem est ac si dixisset, ἀλλὰ τὸ τέλος ἐστὶν ἐν τῇ ὑμετέρᾳ ψήφῳ. IDEM.

Ἀνενεγκών τις] Sic dedi e superiori exemplo, pro vulgari ἐνεγκών τις. IDEM.

Ϛ'. Εὐσεβείας] Ut Manes peremti placentur ultione de homicida sumenda. τοῦ δικαίου] quo juri humano satis fiat, sancienti jus talionis. IDEM.

διαβολῆς ἕνεκα καὶ ἀπάτης· ὅπερ ἀδικώτατόν ἐστι τῶν ἐν
ἀνθρώποις. καὶ οὐκ ἐλέγξαντες, εἴ γ' ἀδικῶ, δικαίως με
βούλονται τιμωρεῖσθαι· ἀλλὰ διαβάλλοντες, καὶ εἰ μηδὲν
8 ἀδικῶ, ζημιῶσαι καὶ ἐξελάσαι ἐκ τῆς γῆς ταύτης. ἐγὼ δὲ
ἀξιῶ πρῶτον μὲν περὶ αὐτοῦ τοῦ πράγματος κρίνεσθαι, καὶ
διηγήσασθαι ἐν ὑμῖν τὰ γενόμενα πάντα· ἔπειτα περὶ τῶν
768 ἄλλων ὧν οὗτοι [1] κατηγοροῦσιν, ἐὰν ὑμῖν ἡδομένοις ᾖ, βουλή-
σομαι ἀπολογήσασθαι. ἡγοῦμαι γάρ μοι τιμὴν καὶ ὠφέ-
λειαν αὐτὰ οἴσειν, τοῖς δὲ κατηγόροις καὶ τοῖς ἐπηρεάζουσιν
9 αἰσχύνην· ἐπεί τοί γε καὶ δεινόν, ὦ ἄνδρες. ἵνα μὲν ἐξῇν αὐ-
τοῖς, εἴ τι ἐγὼ ἠδίκουν τὴν πόλιν ἢ ἐν χορηγίᾳ ἢ ἐν ἄλλοις
τισίν, ἀπεφήνασι καὶ [2] ἐξελέγξασιν ἄνδρα τε ἐχθρὸν τιμω-
ρήσασθαι καὶ τὴν πόλιν ὠφελῆσαι, ἐνταῦθα μὲν οὐδεὶς πώ-
ποτε οἷός τε ἐγένετο αὐτῶν οὔτε μικρὸν οὔτε μέγα ἐλέγξαι
ἀδικοῦντα τόνδε τὸν ἄνδρα τὸ πλῆθος τὸ ὑμέτερον· ἐν δὲ
τούτῳ τῷ ἀγῶνι, φόνου διώκοντες, καὶ τοῦ νόμου οὕτως
767 ἔχοντος, εἰς αὐτὸ τὸ πρᾶγμα κατηγορεῖν, μηχανῶνται ἐπ'
ἐμὲ λόγους ψευδεῖς συντιθέντες καὶ διαβάλλοντες τὰ εἰς τὴν
πόλιν. καὶ τῇ μὲν πόλει, εἰ μὲν ἀδικεῖται, κατηγορίαν ἀν-
τὶ τιμωρίας ἀπονέμουσιν, αὐτοὶ δὲ, ὧ τὴν πόλιν φασὶν
10 ἀδικεῖσθαι, [3] τούτου ἰδίᾳ ἀξιοῦσι δίκην λαμβάνειν. καίτοι
αὗται αἱ κατηγορίαι οὔτε χάριτος ἄξιαι οὔτε πίστεως.
οὔτε γὰρ δὴ, οὗ ἡ πόλις ἐλάμβανεν ἂν δίκην εἴ τι ἠδίκητο,

[1] κατηγορήσουσιν [2] ἐλέγξασιν [3] τουτοὶ δὴ ἀξιοῦσι

Τῶν ἀνθρώπων] Π. τῶν ἐν ἀνθρώπους, ἢ, τῶν παρ' ἀνθρώπους. H. STEPHAN. τῶν ἐν ἀνθρώπῳ. SCALIG.

Κρίνεσθαι] Num, ἀπορρίπτεσθαι? REISK.

Κατηγορήσουσιν] Melius κατηγορεῦσιν. TAYLOR.

Ἵνα μὲν ἐξῆν] Foret utique planior oratio, si legeretur εἰ, ἵνα — εἰ, ubi loci — ut si cohæret cum οἷός τ' ἐγένετο. Verum tamen videor mihi observasse, post illas dictiones, δεινὸν, aut θαυμαστόν γ' ἂν εἴη, cum deberet εἰ vel ἐὰν sequi, istas particulas omitti; orationem in illis δεινὸν ἂν εἴη, vel θαυμαστὸν ἂν εἴη, et similibus, ex abrupto sisti et inhiberi, et novam incipi sententiam a præmissis velut abscissam, ut in vehementis mirationis, aut stomachi. quare satius fuerit, ut in re dubia, post δ' ἄνδρες punctum figi. REISK.

Ἀπεφήνασι] Num φήνασι simplex præstat? IDEM.

Τόνδε τὸν ἄνδρα] Id est, me, more tragicorum. IDEM.

μηνυτὴς ἐγενόμην περὶ τοῦ πατρὸς, ἀλλ' ἢ ἐμὲ ἢ ἐκεῖνον
ἔδει ἀποθανεῖν. φέρε δὴ τοίνυν, εἰ καὶ ὁ πατὴρ ἐβούλετο
ὑπομένειν, τοὺς φίλους ἂν οἴεσθε ἢ ἐπιτρέπειν αὐτῷ μένειν
ἢ ἐγγυήσασθαι, ἀλλ' οὐκ ἂν παραιτεῖσθαι καὶ δεῖσθαι
ἀπιέναι ὅπου ἂν ἔμελλεν αὐτὸς σωθήσεσθαι, ἐμέ τε οὐκ
10 ἀπολεῖν; ἀλλὰ γὰρ καὶ ὅτε Σπεύσιππον ἐδίωκεν ὁ πατὴρ
τῶν παρανόμων, αὐτὰ ταῦτα ἔλεγεν, ὡς οὐδεπώποτε ἔλθοι
εἰς Θημακὸν ὡς Φερεκλέα· ἐκέλευε δὲ βασανίσαι τὰ ἀνδρά-
ποδα, καὶ μὴ τοὺς μὲν παραδιδόντας μὴ ἐθέλειν ἐλέγχειν, 12
τοὺς δὲ μὴ θέλοντας ἀναγκάζειν. ταῦτα δὲ λέγοντος τοῦ

[1] καταλαμβανόμενος

[2] μείναντα τι

Αὐτῶν Aud.] Αὐτὸν Aud. TAYLOR. SCALIGER. SLUITER.

Φεύγοντας] Leg. φεύγοντα. TAYLOR.

Καταλαμβανόμενος] Malim simplex. Dicitur enim λαμβάνεσθαι τῶν γονάτων τινὸς, non καταλαμβάνεσθαι. REISK.

Μείναντα τι] Hoc τι est iteratio redundans præmissi τι versu 6. quod solum poterat sufficere. Sed post καὶ ὁ πατὴρ hoc ipso versu 8. malim τι iterari, et post ἐπείσθη signum interrogationis poni, ut ἀγῶνα — sint responsio illius interrogationis. IDEM.

Μείναντα τι] Demiror Reiskium, qui pronomen τι deleri velit: non est delendum, sed scribendum sine accentu τι, *aliquid*: *mori* per Euphemismum Attici dixerunt τι παθεῖν. SLUITER.

Αὐτῷ ἁμαρτεῖν] Interpono ἐνὸς aut δατέρου. REISK.

Ἢ γὰρ] P. ἦγον. TAYLOR.

Περὶ τοῦ πατρὸς] Alibi semper κατὰ I. N. [interpretor, Inquit Noster. *Reisk.*] IDEM.

Τῶν παρανόμων, αὐτὰ ταῦτα] Num τῶν παρανόμων αὐτὸς, ταῦτα. REISK. Articulum τῶν, ut et alias in eadem phrasi abest, sic et h. l. delendum censet Valckenærius. SLUITER.

Ἀναγκάζειν] Auctor erat judicibus, ut desisterent ab illa inconstantia et iniquitate sua, qua solerent servos a dominis ad tormenta oblatos, οὐκ ἐθέλειν ἐλέγχειν, nolle coarguere, dominos autem, qui servos ad tormenta exhibere recusarent, ἀναγκάζειν παραδιδόναι, cogere ad tradendum.

πατρὸς τοῦ ἐμοῦ, ὡς ἅπαντες ἴστε, τί ὑπελείπετο τῷ Σπευσίππῳ λέγειν, εἰ ἀληθῆ οἵδε λέγουσιν, ἀλλ' ἦ, Ὦ Λεωγόρα, τί βούλει περὶ θεραπόντων λέγειν; οὐχ ὁ υἱὸς οὑτοσὶ μεμήνυκε κατὰ σοῦ, καὶ φησί σε παρεῖναι ἐν Θημακῷ; ἔλεγχε σὺ τὸν πατέρα, ἢ οὐκ ἔστι σοι ἄδεια. ταυτὶ ἔλεγεν ἂν ὁ Σπεύσιππος, ὦ ἄνδρες· ἢ οὔ; ἐγὼ μὲν οἶμαι. εἰ τοίνυν ἀνέβην ἐπὶ δικαστήριον, ἢ λόγος τις περὶ ἐμοῦ ἐγένετο, ἢ μήνυσίς τις ἐμή ἐστιν ἢ ἀπογραφή, μὴ ὅτι ἐμὴ καθ' ἑτέρου, ἀλλ' εἰ καὶ ἄλλου τινὸς κατ' ἐμοῦ, ἐλεγχέτω με ὁ βουλόμενος ἐνταῦθα ἀναβάς. ἀλλὰ γὰρ λόγον ἀνοσιώτατον καὶ ἀπιστότατον οὐδένας πώποτ' ἐγὼ εἰπόντας οἶδα, οἳ τοῦτο μόνον ἡγήσαντο δεῖν, τολμῆσαι κατηγορῆσαι· εἰ δ' ἐλεγχθήσονται ψευδόμενοι, οὐδὲν αὐτοῖς ἐμέλησεν. ὥσπερ οὖν, εἰ ἀληθῆ ἦν ταῦτα ἃ με κατηγόρησαν, ἐμοὶ ἂν ὠργίζεσθε καὶ ἠξιοῦτε δίκην τὴν μεγίστην ἐπιτιθέναι· οὕτως ἀξιῶ ὑμᾶς, γινώσκοντας ὅτι ψεύδονται, πονηρούς τε αὐτοὺς νομίζειν, χρῆσθαί τε τεκμηρίῳ ὅτι, εἰ τὰ δεινότατα τῶν κατηγορηθέντων περιφανῶς ἐλέγχονται ψευδόμενοι, ἥπου τά γε πολλῷ φαυλότερα ῥᾳδίως ὑμῖν ἀποδείξω ψευδομένους αὐτούς.

ε'. Αἱ μὲν μηνύσεις ὧδε περὶ τῶν μυστηρίων αὗται ἐγέ-

[1] ἀνθρωπε [2] Deest articulus. [3] τις ὡς ἐμοὶ
[4] οὐδένα [5] τἆλλα πολλῷ

Exprobrat judicibus iniquitatem et inconstantiam. Si ego servos exhibere recusarem, cogeretis me. Jam cum eos exhibeam, non vultis in rem inquirere, recusatis ex iis confessionem veri exprimere. Reisk.

Εἰ ἀληθῆ οἵδε λέγουσιν] Suspicabar aliquando leg. esse: εἰ ἀληθῆ σύνοιδε λέγουσιν. *si conscius his erat vera dicentibus.* Idem.

Ἔστιν ἡ ἀπογραφὴ] Videtur sic leg. et distinguendum esse: ἔστιν, ἡ ἀπογραφή. *aut descriptio.* distinguit τὴν ἀπογραφὴν, ut rem diversam, a τῇ μηνύσει, et erant quoque diversæ res. indicium præcedebat, sequebatur exhibitio nominum indicatorum in tabula præscriptorum. Idem.

Ἀλλὰ γὰρ λόγον —] Locum hunc sic lego: ἀλλὰ γὰρ λόγον ἀνοσιώτερον καὶ ἀπιστότερον οὐδένας (in plurali) πώποτ' ἐγὼ εἰπόντας οἶδα τούτων, οἳ τοῦτο μόνον. Idem.

Ἀλλὰ γὰρ λόγον κ. τ. λ.] Non satis probabilis videtur Reiskii conjectura: ἀλλὰ γὰρ λόγον ἀνοσιώτερον καὶ ἀπιστότερον οὐδένας πώποτ' ἐγὼ εἰπόντας οἶδα τούτων, οἳ cæt. Equidem suspicatus sum duo verba excidisse, quæ oculorum ingeniique aciem descriptoris propter similitudinem literarum fefellerint; atque ita fere scripsisse Andocidem: ἀλλὰ γὰρ λόγον εἶλεγον ἀνοσιώτατον καὶ ἀπιστότατον, οἷον οὐδένα πώποτ' ἐγὼ εἰπόντα οἶδα, οἳ τοῦτο μόνον. — Verum acute animadvertit Io. Luzacius, quocum conjecturam communicavi, duriorem esse Atticis auribus hiatum εἰπόντα οἶδα: itaque rectius scribi: οἷον οὐδ' ἂν πώποτ' ἐγὼ εἰπόντας οἶδα. — Mox in sequentibus emendationem Reiskianam οὐδὲν αὐτοῖς ἐμέλησεν et M. Ald. confirmat, et ita legendum esse viderat quoque Valckenaerius. Sluiter.

Οὐδὲ νῦν τοῖς ἐμέλησεν] Pro τοῖς dant schedæ Scaligeri τούτοις. Ego de meo dedi οὐδὲν αὐτοῖς ἐμ. Reisk.

Φαυλότερα] Subaudi ὄντα. breviloquentes illi vetustiores Attici, ut Noster Andocides, Lysias, et Thucydides, talia omittunt, quæ recentiores sedulo cavent ne usquam omittant. Idem.

Αἱ μὲν μηνύσεις] Post μὲν aut οὖν aut

νοντο τέτταρες· οἱ δὲ ἔφευγον καθ' ἑκάστην μήνυσιν, ἀνέγνων ὑμῖν τὰ ὀνόματα αὐτῶν, καὶ οἱ μάρτυρες μεμαρτυρήκασιν. ἔτι δὲ πρὸς τούτοις ἐγὼ πιστότητος ὑμῶν ἕνεκα, ὦ ἄνδρες, τάδε ποιήσω. τῶν γὰρ φευγόντων ἐν τοῖς μυστηρίοις οἱ μέν τινες ἀπέθανον φεύγοντες, οἱ δ' ἥκουσι καὶ εἰσὶν ἐνθάδε καὶ παρεισὶν ὑπ' ἐμοῦ κεκλημένοι. ἐγὼ οὖν ἐν τῷ ἐμῷ λόγῳ δίδωμι τῷ βουλομένῳ ἐμὲ [1] ἐλέγξαι, ὅτι ἔφυγέ τις αὐτῶν δι' ἐμέ, ἢ ἐμήνυσα κατ' αὐτοῦ, ἢ οὐχ ἕκαστοι ἔφευγον κατὰ τὰς μηνύσεις ταύτας ἃς ἐγὼ ὑμῖν ἀπέδειξα. καὶ ἐάν τις ἐλέγξῃ με ὅτι ψεύδομαι, χρήσασθέ μοι ὅ τι βούλεσθε. καὶ σιωπῶ καὶ παραχωρῶ, εἴ τις ἀναβαίνειν βούληται.

ς'. Φέρε [2] δή, ὦ ἄνδρες, μετὰ ταῦτα τί ἐγένετο; ἐπειδὴ αἱ μηνύσεις ἐγένοντο, περὶ τῶν μηνύτρων — ἦσαν γὰρ κατὰ τὸ Κλεωνύμου ψήφισμα χίλιαι δραχμαὶ, κατὰ δὲ τὸ Πεισάνδρου μύριαι — περὶ δὲ τούτων ἠμφισβήτουν οὗτοί τε οἱ μηνύσαντες, καὶ Πυθόνικος, φάσκων πρῶτος εἰσαγγεῖλαι, καὶ Ἀνδροκλῆς ὑπὲρ τῆς βουλῆς. ἔδοξεν οὖν τῷ δήμῳ ἐν τῷ τῶν θεσμοθετῶν δικαστηρίῳ τοὺς μεμυημένους, ἀκούσαντας τὰς μηνύσεις ἃς ἕκαστος ἐμήνυσε, διαδικάσαι· καὶ ἐψηφίσαντο πρώτῳ μὲν Ἀνδρομάχῳ, δευτέρῳ δὲ Τεύκρῳ, καὶ ἔλαβον Παναθηναίων τῷ ἀγῶνι, Ἀνδρόμαχος μὲν μυρίας δραχμὰς, Τεῦκρος δὲ χιλίας. καὶ μοι κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

5. 1 ζ'. Περὶ μὲν τῶν μυστηρίων, ὦ ἄνδρες, ὧν εἵνεκα ἡ ἔνδειξις ἐγένετο καὶ περὶ ὧν ὑμεῖς οἱ μεμυημένοι εἰσεληλύθατε,

[1] ἐξελέγξαι [2] δὲ

τούτων deesse aliquando suspicabar. Sed Lysias et similes antiqui has copulas amant omittere. v. p. 237. pen. IDEM.

Ὧδε περὶ] Malim *ad* interponi. IDEM.

Ἐν τοῖς μυστηρίοις] Leg. ἐπὶ τοῖς μυστ. Conf. p. 240. 7. IDEM.

Ἡ ἐμήνυσα] Legi malim ὅτι ἐμήν. IDEM. Sententia videtur requirere: ἢ ἐμήνυσα κατά του. SLUITER.

ς'. Περὶ δὲ τούτων] Facile δὴ substituatur in locum δέ. videtur tamen et hoc quoque posse defendi, ex more Latinorum, *sed* in similibus locis pro *igitur* usurpandi. *Sed de his* — de quibus nempe disputare cœperam. REISK.

Ἀνδροκλῆς] Ὁ δημαγωγός. Plut. in Alcib. TAYLOR. Videtur ergo Androcles syndicus senatus fuisse, et ex h. l. posse colligi, ut fisco sui syndici seu fiscales fuerunt, ita senatui quoque suos fuisse, qui rem, h. e. ut vulgo usurpamus, interesse ejus curarent, eique consulerent. REISK.

Μεμυημένους] Rectius μυήσαντας. v. 5, 2. 9. ed. Steph. TAYLOR.

ζ'. Περὶ μὲν τῶν μυστηρίων] Omissio copulæ οὖν decet illum ὧνπερ vetustissimi Atticismi. REISK.

ἀποδέδεικταί μοι, ὡς οὔτε ἠσέβηκα οὔτε μεμήνυκα περὶ οὐδενὸς οὔτε ὡμολόγηκα περὶ αὐτῶν, οὐδὲ ἔστι μοι ἁμάρτημα περὶ τὼ θεὼ οὔτε μεῖζον οὔτ' ἔλαττον οὐδὲ ἕν. ὅπερ ἐμοὶ περὶ πλείστου ἐστὶν ὑμᾶς πεῖσαι· καὶ γὰρ οἱ λόγοι τῶν κατηγόρων ταῦτα τὰ δεινὰ καὶ φρικώδη ἀνωρθίαζον, καὶ λόγους εἶπον, ὡς πρότερον ἑτέρων ἁμαρτάντων καὶ ἀσεβησάντων περὶ τὼ θεώ, οἷα ἕκαστος αὐτῶν ἔπαθε καὶ ἐτιμωρήθη. τούτων οὖν ἐμοὶ τῶν λόγων ἢ τῶν ἔργων τί προσήκει; ἐγὼ γὰρ πολὺ μᾶλλον ἐκείνων κατηγορῶ, καὶ διὰ αὐτὸ τοῦτο φημὶ δεῖν ἐκείνους μὲν ἀπολέσθαι, ὅτι ἠσέβησαν, ἐμὲ δὲ σώζεσθαι, ὅτι οὐδὲν ἡμάρτηκα. ἢ [1] δεινόν γ' ἂν εἴη, εἰ ἐμοὶ
16 ὀργίζοισθε ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασι, καὶ τὴν εἰς ἐμὲ διαβολὴν εἰδότες ὅτι ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν λέγεται, κρείττω τῆς ἀληθείας [2] ἡγήσαισθε. δῆλον ὅτι γὰρ τοῖς μὲν ἡμαρτηκόσι τὰ τοιαῦτα ἁμαρτήματα οὐκ ἔστιν ἀπολογία ὡς οὐκ ἐποίησαν. ἡ γὰρ βάσανος δεινὴ παρὰ τοῖς εἰδόσιν· ἐμοὶ δὲ ὁ ἔλεγχος ἥδιστος, ἐν οἷς ὑμῶν οὐδέν με δεῖ δεόμενον οὐδὲ

[1] δεινὸν γὰρ εἶη

[2] ἡγήσισθε

Οἱ λόγοι] Pinge οἵ λόγοι. Est enim οἱ hic loci non præpositivus articulus, sed postpositivus. Cohæret cum τούτων οὖν τῶν λόγων — v. 8. Fuisset utique concinnius: καὶ γὰρ ἐν οἷς λόγοις οἱ κατήγοροι, ταῦτα τὰ δεινὰ ἀνορθιάζοντες, εἶπον, εἶα ἕκαστος ἔπαθεν ἕκαστος τῶν πρότερον τὰ αὐτὰ ἁμαρτόντων — verum in his vetustis scriptoribus limata et tersa oratio frustra requiratur. Durum utique οἱ λόγοι — εἶπον λόγους — sed ferenda sunt hæc in hujusmodi scriptoribus ἀκόμψως. Loci hujus intelligentia e Lysiæ oratione in Andocidem est petenda. Reisk.

Οἱ λόγοι τῶν κατηγόρων κ. τ. λ.] Locus procul dubio videtur corruptus; nec certa apparet emendandi via. Absurdum est· οἱ λόγοι — ἀνωρθίαζον, καὶ λόγους εἶπον: ipsa verba declamarunt, et sermones dixerunt: forte, si quid periclitari liceat, pro οἱ λόγοι scribendum οἱ λόγιοι, et ἀλόγως pro λόγους, quoniam subjicit: τούτων οὖν ἐμοὶ τῶν λόγων ἢ τῶν ἔργων τί προσήκει; pulcra est hæc oppositio: οἱ λόγιοι — ἀλόγως εἶπον, ὅπως (ita enim legendum videtur pro ὡς). Λόγιοι autem secundum Mœridem et Thomam Magistrum sunt οἱ πολυίστορες, vel, ut ait Phrynichus p. 84. οἱ τὰ ἑκάστῳ ἴδια ἐπιχώρια ἐξηγούμενοι ἐμπείρως, ubi vid. Nunnesius. Plutarchus in Solon. p. 92. E. Χρόνον δέ τινα καὶ τοῖς περὶ Φέναφιν τὸν Ἡλιουπολίτην καὶ Σόγχιν τὸν Σαΐτην, λογιωτάτους οὖσι τῶν ἱερέων, συνεφιλοσόφησε: p. 96. D. μᾶθον — ὃν διήκουσε τῶν περὶ Σάϊν λογίων. Λόγιον Hesychius interpretatur τὸν τῆς ἱστορίας ἔμπειρον, πεπαιδευμένον. Conf. Interpretes Thomæ Magistri l. c. p. 579. et Pierson. ad d. l. Mœridis p. 249. Elsnerus et Wetstenius ad Acta Apost. xviii. ver. 24. Sensus hujus loci est: *Caput causæ in eo pono, ut persuadeam vobis, me non peccasse: nam isti rerum ante gestarum et antiquæ historiæ periti accusatores mei horrenda ista et terroris plena magna voce declamarunt, et absurda ratione dixerunt, quo antea modo cum alii peccassent in Cererem et Proserpinam, qualia quisque eorum passus, qua pœna affectus esset.* Cæterum verbum ἀνωρθίαζον ex h. l. citantes Harpocration et Suidas exponunt ἆρδην βοῶντες ἔλεγον. Sluiter.

Λόγους εἶπον] Hæc videntur spectare orationem Lysiacam in initio fragmenti. quæratur. Taylor.

Δεινὸν γὰρ] Malim δεινόν γ' ἄν. Reisk. Valckenaerius legit: δεινὸν γὰρ ἂν εἴη. Sluiter.

Ἡγήσισθε] Malim ἡγήσαισθε, ob præcedens ὀργίζοισθε. Reisk.

Εἰδόσιν] Scil. τὰ μυστήρια. Idem.

Οὐδέν με δεῖ] Leg. οὐδένα με δεῖ. Taylor. Saltim οὐδενὸς dedisset. Reisk.

παραιτούμενον σωθῆναι ἐπὶ τοιαύτῃ αἰτίᾳ, ἀλλ᾽ ἐλέγχοντα τοὺς τῶν κατηγόρων λόγους. καὶ ὑμᾶς ἀναμιμνήσκω τὰ γεγενημένα, οἵτινες ὅρκους μεγάλους ὀμόσαντες οἴσετε τὴν ψῆφον περὶ ἐμοῦ, καὶ ἀρασάμενοι τὰς μεγίστας ἀρὰς ὑμῖν τε αὐτοῖς καὶ [1] πᾶσι τοῖς ὑμετέροις αὐτῶν, εἰ μὴ ψηφιεῖσθε περὶ ἐμοῦ τὰ δίκαια· πρὸς δὲ τούτοις μεμύησθε καὶ ἑωράκατε τοῖν θεοῖν τὰ ἱερά, ἵνα τιμωρήσητε μὲν τοὺς ἀσεβοῦντας, σώζητε δὲ τοὺς μηδὲν ἀδικοῦντας. νομίσατε τοίνυν ἀσέβημα οὐδὲν ἔλαττον εἶναι τοὺς μηδὲν ἠδικηκότας ἀσεβεῖν καταγνῶναι ἢ τοὺς ἠσεβηκότας μὴ τιμωρεῖσθαι. ὥστ᾽ ἐγὼ ὑμῖν πολὺ μᾶλλον τῶν κατηγόρων πρὸς τοῖν θεοῖν ἐπισκήπτω, ὑπέρ τε τῶν ἱερῶν ἃ [2] εἴδετε, καὶ ὑπὲρ τῶν Ἑλλήνων οἳ 17
τῆς ἑορτῆς ἕνεκεν ἔρχονται δεῦρο· εἰ μέν τι ἠσέβηκα ἢ ὡμολόγηκα ἢ ἐμήνυσα κατά τινος ἀνθρώπων, ἢ ἄλλος τις περὶ ἐμοῦ, ἀποκτείνατέ με· οὐ παραιτοῦμαι· εἰ δὲ οὐδὲν ἡμάρτηταί μοι, καὶ τοῦτο ὑμῖν ἀποδείκνυμι σαφῶς, δέομαι ὑμῶν αὐτὸ φανερὸν τοῖς Ἕλλησι πᾶσι ποιῆσαι, ὡς ἀδίκως εἰς τόνδε τὸν ἀγῶνα κατέστην. ἐὰν γὰρ μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων καὶ ἀτιμωθῇ ὁ ἐνδείξας ἐμὲ [3] Κηφίσιος οὑτοσί, οὐκ ἔξεστιν αὐτῷ εἰς τὸ ἱερὸν τοῖν θεοῖν εἰσιέναι, ἢ ἀποθανεῖται. εἰ οὖν ὑμῖν [4] δοκῶ ἱκανῶς περὶ τούτων [5] ἀπολελογῆσθαι, δηλώσατέ μοι, ἵνα προθυμότερον περὶ τῶν ἄλλων ἀπολογῶμαι.

ἡ. Περὶ δὲ τῶν ἀναθημάτων τῆς περικοπῆς καὶ τῆς μηνύσεως, ὥσπερ καὶ ὑπεσχόμην ὑμῖν, οὕτω καὶ ποιήσω· ἐξ ἀρχῆς γὰρ ὑμᾶς διδάξω ἅπαντα τὰ γεγενημένα. ἐπειδὴ Τεῦκρος ἦλθε Μεγαρόθεν ἄδειαν εὑρόμενος, μηνύει περί τε

[1] πᾶσι [2] ἴδετε [3] Κυφίσιος [4] δοκῶ ὑμῖν [5] ἀπολογεῖσθαι

Ἀλλ᾽] Subaudi a communi δεῖ σωθῆναι. IDEM.

Ἀναμιμνήσκω] Malim ἀναμιμνήσκοντα, in participio, ut ἰλίγχοντα. IDEM.

Οἵτινες ὅρκους —] Verba οἵτινες ὅρκους ad τὰ ἱερὰ versu 7. pro parentheticis accipienda sunt. Nam ἵνα τιμωρήσητε cohaeret cum ἀναμιμνήσκω ὑμᾶς. IDEM.

Περὶς τοῖν θεοῖν] Aut περὶς ταῖν Θεαῖν leg. est, aut saltim περὶς ταῖν Θεοῖν, si non a Θεὰ, sed a θεὸς communis generis repetere velis. Saltim articulus debebit genus femininum indicare. Ceres enim et Proserpina hic significantur. Et sic quoque versu 20. REISK. Legendum esse ταῖν Θεοῖν cum Reiskio consentit Valckenarius. vid. Markland. et Taylor. ad Lys. p. 103. 27. ed. Steph. Respexit hunc locum Harpocration v. ἐπισκήψατο, explicans: μετὰ τινὸς ἐπιθυμισμοῦ λέγω, οἷον ἐξορκίζω. ex quo sua hausit Suidas. SLUITER.

Τῆς ἑορτῆς] Sacrorum Eleusiniorum puta. REISK.

Κηφίσιος] Π. Κηφίσιος, ὃς γράφεται ἀλλαχοῦ. H. STEPHAN.

Ἀπολελογῆσθαι] Malim ἀπολελογῆσθαι. SLUITER.

Εὑρόμενος] p. 3. 14. ed. Steph. usurpavit

τῶν μυστηρίων ἃ ἤδει καὶ τῶν περικοψάντων τὰ ἀναθή-
18 ματα, καὶ ἀπογράφει δυοῖν δέοντας εἴκοσιν ἄνδρας. ἐπειδὴ 35
[1] δὲ οὗτοι ἀπεγράφησαν, οἱ μὲν αὐτῶν φεύγοντες ᾤχοντο,
οἱ δὲ συλληφθέντες ἀπέθαναν κατὰ τὴν Τεύκρου μήνυσιν.
καί μοι ἀνάγνωθι αὐτῶν τὰ ὀνόματα.

ONOMATA.

Τεῦκρος ἐπὶ τοῖς Ἑρμαῖς ἐμήνυσεν Εὐκτήμονα, Γλαύκιππον, Εὐρύμαχον, Πολύευκτον, Πλάτωνα, Ἀντίδωρον, Χάρικλον, Θεόδωρον, Ἀλκισθένην, Μενέστρατον, [2] Ἐρυξίμαχον, Εὐφίλητον, Εὐρυδάμαντα, Φερεκλέα, [3] Μί- 40
λητον, Τιμάνθην, Ἀρχίδαμον, Τελένικον.

τούτων τοίνυν τῶν ἀνδρῶν οἱ μὲν ἥκουσι καί εἰσιν ἐνθά-
δε, τῶν δὲ ἀποθανόντων εἰσὶ πολλοὶ προσήκοντες· ὧν ὅστις
βούλεται, ἐν τῷ ἐμῷ λόγῳ ἀναβάς με ἐλεγξάτω, ἢ ὡς
ἔφυγέ τις δι' ἐμὲ τούτων τῶν ἀνδρῶν, ἢ ὡς ἀπέθανεν.

θ'. Ἐπειδὴ δὲ ταῦτα ἐγένετο, Πείσανδρος καὶ Χαρικλῆς,
ὄντες μὲν τῶν ζητητῶν, δοκοῦντες δ' ἐν ἐκείνῳ τῷ χρόνῳ 6. 1
εὐνούστατοι εἶναι τῷ δήμῳ, [4] ἔλεγον ὡς εἴη τὰ ἔργα τὰ
γεγενημένα οὐκ ὀλίγων ἀνδρῶν ἀλλ' ἐπὶ τῇ τοῦ δήμου κα-
ταλύσει, καὶ χρῆναι ἔτι ζητεῖν καὶ μὴ παύσασθαι. καὶ ἡ
πόλις οὕτω διέκειτο, ὥστ', ἐπειδὴ τὴν βουλὴν εἰς τὸ βουλευ-
19 τήριον ὁ κήρυξ [5] ἀνείποι ἰέναι καὶ τὸ σημεῖον [6] καθέλοι, τῷ
αὐτῷ σημείῳ ἡ μὲν βουλὴ εἰς τὸ βουλευτήριον ἤει, οἱ δ' ἐκ 5
τῆς ἀγορᾶς ἔφυγον, δεδιότες εἷς ἕκαστος μὴ συλληφθείη.
ἐπαρθεὶς οὖν τοῖς τῆς πόλεως κακοῖς εἰσαγγέλλει Διοκλεί-
δης εἰς τὴν βουλὴν, φάσκων εἰδέναι τοὺς περικόψαντας τοὺς
Ἑρμᾶς, καὶ εἶναι αὐτοὺς εἰς τριακοσίους· ὡς δ' ἴδοι καὶ

[1] Deest δέ. [2] Εὐριξίμαχον [3] Μίλιτον [4] ἔλεγεν οὖν ὡς [5] ἀνεῖπεν [6] καθέλη

εὐρέμενος. Taylor.

Ἐπειδὴ οὗτοι] Malim aut ἐπεὶ δὲ οὗτοι, aut ἐπειδὴ δὲ οὗτοι. Reisk.

Ἐπὶ τοῖς Ἑρμαῖς] Vid. Meurs. Athen. Att. l. i. c. 3.

Εὐριξίμαχον] Πότερον, Ἐρυξίμαχον. H. Stephan.

Ἀνείπῃ] Aut cum simplici εἴπῃ est mutandum, aut ἂν εἴπῃ leg. duobus vocabulis. tum pro εἶναι simplici malim ἀνεῖναι. Reisk. Dedi ex correctione Bekkeri ἀνείποι.

Ἀνείπῃ εἶναι] Reiske mavult εἴπῃ, aut ἂν εἴπῃ ἀνεῖναι: verum tamen sic etiam infra est p. 7. v. 6. seq. ed. Steph. ἀνεῖναι ἐκέλευσαν — εἶναι εἰς τὴν ἀγοράν. Solenne est ἀνεῖναι de iis, quæ voce præconis edicantur, uti et ἀναγορεύειν. Vid. apud Demosthenem pro Cor. p. 244. 2. ed. R. Aristoph. Av. 1084. Ταῦτα βουλόμεσθ' ἀνεῖναι. In. Pace v. 549.

Ἰὼ ὦν, ἄνειπε τοὺς γεωργοὺς ἀπιέναι. Sluiter.

Σημεῖον] Signum, quod quamdiu esset sublatum, concio manebat, detracto autem, concio dissoluta erat. Tale quid etiam apud Romanos in comitiis obtinebat. Reisk.

Οἱ δέ] Subaudi ἄλλοι φεύγουσι. Idem.

περιτύχοι τῷ πράγματι, ἔλεγε. καὶ τούτοις, ὦ ἄνδρες, δέομαι ὑμῶν προσέχοντας τὸν νοῦν ἀναμιμνήσκεσθαι ἐὰν ἀληθῆ λέγω, καὶ διδάσκειν ἀλλήλους· ἐν ὑμῖν γὰρ ἦσαν οἱ λόγοι, καί μοι ὑμεῖς τούτων μάρτυρες ἐστέ. ἔφη γὰρ εἶναι μὲν ἀνδράποδον οἱ ἐπὶ [1] Λαυρίῳ, δεῖν δὲ κομίσασθαι ἀποφοράν. ἀναστὰς δὲ πρωΐ, ψευσθεὶς τῆς ὥρας βαδίζειν· εἶναι δὲ παντελῆνον. ἐπεὶ δὲ παρὰ τὸ Προπύλαιον [2] τὸ Διονύσου ἦν, ὁρᾶν ἀνθρώπους πολλοὺς ἀπὸ τοῦ ᾠδείου καταβαίνοντας εἰς τὴν ὀρχήστραν· δείσας δὲ αὐτούς, εἰσελθὼν ὑπὸ τὴν σκιὰν καθέζεσθαι μεταξὺ τοῦ κίονος καὶ τῆς στήλης ἐφ' ᾗ ὁ στρατηγός ἐστιν ὁ χαλκοῦς. ὁρᾶν δὲ ἀνθρώπους τὸν [3] μὲν ἀριθμὸν [4] μάλιστα τριακοσίους, ἑστάναι δὲ κύκλῳ ἀνὰ πέντε καὶ δέκα ἄνδρας, τοὺς δὲ ἀνὰ εἴκοσιν· ὁρῶν δὲ αὐτῶν πρὸς τὴν σελήνην τὰ πρόσωπα τῶν πλείστων γινώσκειν. καὶ πρῶτον μέν, ὦ ἄνδρες, τοῦθ' ὑπέθετο δεινότατον πρᾶγμα (οἶμαι) ὅπως ἐν ἐκείνῳ εἴη ὁντινα βούλοιτο Ἀθηναίων φάναι τῶν ἀνδρῶν τούτων εἶναι, ὁντινα δὲ μὴ βούλοιτο, λέγειν ὅτι οὐκ ἦν. ἰδὼν δὲ ταῦτ' ἔφη ἐπὶ [5] Λαύριον ἰέναι, καὶ τῇ ὑστεραίᾳ ἀκούειν ὅτι οἱ Ἑρμαῖ εἶεν περικεκομμένοι· γνῶναι οὖν εὐθὺς ὅτι τούτων εἴη τῶν ἀνδρῶν τὸ ἔργον. ἥκων δὲ εἰς ἄστυ ζητητάς τε ἤδη ἠρημένους [6] καταλαμβάνειν καὶ μήνυτρα κεκηρυγμένα ἑκατὸν μνᾶς. ἰδὼν δὲ Εὔφημον τὸν Καλλίου τοῦ Τηλεκλέους ἀδελφὸν ἐν τῷ χαλκείῳ καθήμενον, ἀναγαγὼν αὐτὸν εἰς τὸ Ἡφαιστεῖον λέγειν ἅπερ ὑμῖν ἐγὼ εἴρηκα, ὡς ἴδοι ἡμᾶς ἐν ἐκείνῃ τῇ νυκτί· οὔκουν δέοιτο παρὰ τῆς πόλεως

[1] Λαυρείῳ [2] τοῦ [3] Deest μέν. [4] Deest μάλιστα.
[5] Λαυρεῖον [6] καταλαμβάνει

Ἀναστὰς δὲ] Malim ἀναστὰς οὖν. IDEM.

Ὁρῶν δὲ ἀνθρώπους τὸν ἀριθμὸν τριακοσίους] Galenus t. v. p. 603. vim vocis μάλιστα, qua notat *fere*, explicans apud Hippocratem, locum citat Andocidis ἐν τῷ περὶ μυστηρίων ἅδων δ' ἀνθρώπους τὸν μὲν ἀριθμὸν μάλιστα τριακοσίους. Unde hic locus restituendus: ἰδεῖν δὲ ἀνθρώπους τὸν μὲν ἀριθμὸν μάλιστα τριακοσίους, ἑστάναι δὲ—nam et ἰδεῖν hic scribendum videtur variandi causa; præcedit enim, ὁρῶν ἀνθρώπους, et statim sequitur, ὁρῶν δὲ αὐτῶν—τὰ πρόσωπα. SLUITER.

Πρὸς τὴν σελήνην —] Diodor. Sic. lib. 13. Historici cæteri. TAYLOR.

Καταλαμβάνει] Malim infinitivum καταλαμβάνειν, ut præcedentia et insequentia, est enim hæc obliqua oratio narrantis. REISK. Sic et Valckenaerius. SLUITER.

Ἐν τῷ χαλκείῳ] Χαλκεῖον est h. l. porticus illa (*Halle*, aut *Bazar*) ubi venibant olim ollæ æneæ, seræ, supellex omnis, ære aut ferro facta a fabris serariis atque bractearum cusoribus. Nisi potius est officina fabrilis seraria, cujus dominus Euphemus ille fuisse videtur. REISK.

Ἐν τῷ χαλκείῳ] Valckenaerius malebat ἐν τῳ — pro ἐν τινι. Plura enim erant χαλκεῖα Athenis, in quibus, uti et in tonstrinis aliisque ejusmodi officinis, Athenienses confabulandi causa convenire solebant. SLUITER.

Ἡφαιστεῖον] Vid. Meurs. Athen. Att. l. i. c. 4.

χρήματα λαβεῖν μᾶλλον ἢ παρ' ἡμῶν, ὥςθ' ἡμᾶς ἔχειν φίλους. εἰπεῖν οὖν τὸν Εὔφημον ὅτι καλῶς ποιήσειεν εἰπών, καὶ νῦν ἥκειν κελεῦσαί οἱ εἰς τὴν Λεωγόρου οἰκίαν, ἵνα ἐκεῖ συγγένῃ μετ' ἐμοῦ Ἀνδοκίδῃ καὶ ἑτέροις οἷς δεῖ. ἥκειν ἔφη τῇ
21 ὑστεραίᾳ, καὶ δὴ κόπτειν τὴν θύραν· τὸν δὲ πατέρα τὸν ἐμὸν τυχεῖν ἐξιόντα, καὶ εἰπεῖν αὐτὸν Ἆρά γέ σε οἵδε περιμένουσι; χρὴ μέντοι μὴ ἀπωθεῖσθαι τοιούτους φίλους. εἰπόντα δὲ αὐτὸν ταῦτα οἴχεσθαι. καὶ τούτῳ μὲν τῷ τρόπῳ τὸν πατέρα μου ἀπώλλυε, συνειδότα ἀποφαίνων. εἰπεῖν δὲ ἡμᾶς, ὅτι δεδογμένον ἡμῖν εἴη δύο μὲν τάλαντα ἀργυρίου διδόναι οἱ ἀντὶ τῶν ἑκατὸν μνῶν τῶν ἐκ τοῦ δημοσίου, ἐὰν δὲ κατάσχωμεν ἡμεῖς ἃ [1]βουλώμεθα, ἕνα αὐτῶν ἡμῶν εἶναι· πίστιν δὲ τούτων δοῦναί τε καὶ δέξασθαι. ἀποκρίνασθαι δὲ αὐτὸς πρὸς ταῦτα, ὅτι βουλεύσοιτο· ἡμᾶς δὲ κελεύειν αὐτὸν ἥκειν εἰς Καλλίου τοῦ Τηλεκλέους, ἵνα κἀκεῖνος παρείη. τὸν δ' αὖ κηδεστὴν μου οὕτως ἀπώλλυεν. ἥκειν ἔφη εἰς Καλλίου, καὶ [2]καθομολογήσας ἡμῖν πίστιν δοῦναι ἐν Ἀκροπόλει, καὶ ἡμᾶς συνθεμένους οἱ τὸ ἀργύριον εἰς τὸν εἰσιόντα μῆνα δώσειν διαψεύδεσθαι καὶ οὐ διδόναι· ἥκειν οὖν μηνύσων τὰ γενόμενα.

22 ί. Ἡ μὲν εἰσαγγελία αὐτῶν, ὦ ἄνδρες, τοιαύτη· ἀπογράφει δὲ τὰ ὀνόματα τῶν ἀνδρῶν, ὧν ἔφη γνῶναι, δύο καὶ τετταράκοντα, πρώτους μὲν Μαντίθεον καὶ [3]Ἀφεψίωνα,

[1] βουλόμεθα ἵνα αὐτὸν [2] καθοδηγήσας [3] Ἀψεφίωνα

Κελεῦσαί οἱ] Suo hortatu, aut in gratiam suam. nisi si legi malumus: ἅμα οἱ, *una secum*. Reisk.

Ἵνα ἐκεῖ συγγένῃ μετ' ἐμοῦ Ἀνδοκίδῃ καὶ ἑτέροις οἷς δεῖ] Absurde, Valckenaerio judice, suum ipse nomen hic memorasset Andocides: ad μετ' ἐμοῦ adscriptum ab aliquo credidit Ἀνδοκίδου: de quo tamen equidem dubito, cum referantur verba Euphemi. Quod si vera sit Valckenaerii conjectura, legendum videtur συγγίνηται. Porro suspicatus est Valckenaerius, ἑταίροις legendum esse pro ἑτέροις, quod ad p. 2. v. 33. ed. Steph. indicavi. Sluiter.

Δεῖ ἥκειν] Disjunxi hæc interponendo puncto. nam in verbo δεῖ desinit oratio Euphemi. tum rursus incipit obliqua oratio, seu expositio Dioclidis. Venisse se aiebat, (nempe Dioclides) v. versu 15. et 20. Reisk.

Εἰπεῖν αὐτὸν] Malim εἰπεῖν πρὸς αὐτόν. patrem meum dixisse ad sese, Diocliden puta. Idem.

Ἆρά γε] Non satis placet. Num δεῦρ' ἄγε, *huc ades, agedum*. οἵδε σε περιμένουσιν, *hi te exspectant*. an, id quod in Latinis reddidi, δῆτά γέ σε οἵδε περιμένουσι, *jam dudum hi te exspectant*. Idem.

Βουλώμεθα] Malim aut βουλοίμεθα, in optativo, aut ἐθελώμεθα, in conjunctivo. Idem.

Ἕνα αὐτῶν] Dedi de meo ἵνα αὐτόν. Summa rerum ubi potiti fuerimus, nos se quoque, Diocliden puta, in collegium nostrum cooptaturos esse. Idem.

Δοῦναί] Aptus est hic infinitivus, cum proximo δέξασθαι, e δεδογμένον ἡμῖν δὲ versu 10. Idem.

Καθοδηγήσας] Cum viam nobis subsequentibus præisset in Acropolin. Idem.

Αὐτῶν] Imo vero αὐτῷ. Ei, Dioclidi, hæc erat denunciatio. h. e. hoc modo denunciavit nos Dioclides. Idem.

Ἀψεφίωνα] Ubique scribe Ἀφεψίωνα.

βουλευτὰς ὄντας καὶ καθημένους ἔνδον, εἶτα δὲ καὶ τοὺς ἄλλους. ἀναστὰς δὲ Πείσανδρος ἔφη χρῆναι λύειν τὸ ἐπὶ Σκαμανδρίου ψήφισμα καὶ ἀναβιβάζειν ἐπὶ τὸν τροχὸν τοὺς ἀπογραφέντας, ὅπως μὴ πρότερον νὺξ ἔσται πρὶν πυθέσθαι τοὺς ἄνδρας ἅπαντας. ἀνέκραγεν ἡ βουλή, ὡς
7. 1 εὖ λέγει. ἀκούσαντες δὲ ταῦτα Μαντίθεος καὶ [1] Ἀφεψίων ἐπὶ τὴν ἑστίαν ἐκαθέζοντο, ἱκετεύοντες μὴ στρεβλωθῆναι, ἀλλ' ἐξεγγυηθέντας κριθῆναι. μόλις δὲ τούτων τυχόντες, ἐπειδὴ τοὺς ἐγγυητὰς κατέστησαν, ἐπὶ τοὺς ἵππους ἀναβάντες, ὤχοντο εἰς τοὺς πολεμίους αὐτομολήσαντες, καταλιπόντες τοὺς ἐγγυητάς, οὓς ἔδει τοῖς αὐτοῖς ἐνέχε-
5 σθαι, ἐν οἷσπερ οὓς ἠγγυήσαντο. ἡ δὲ βουλὴ ἐξελθοῦσα ἐν ἀπορρήτῳ συνέλαβεν ἡμᾶς καὶ ἔδησεν ἐν τοῖς ξύλοις. ἀνα- 23
καλέσαντες δὲ τοὺς στρατηγοὺς ἀνειπεῖν ἐκέλευσαν, Ἀθηναίων τοὺς μὲν ἐν ἄστει οἰκοῦντας ἰέναι εἰς τὴν ἀγορὰν τὰ ὅπλα λαβόντας, τοὺς δ' ἐν μακρῷ τείχει [2] εἰς τὸ Θησεῖον, τοὺς δ' ἐν Πειραιεῖ εἰς τὴν Ἱπποδαμίαν ἀγοράν, τοὺς δ' ἱππεῖς ἔτι νυκτὸς σημῆναι τῇ σάλπιγγι ἥκειν εἰς τὸ
10 Ἀνάκειον, τὴν δὲ βουλὴν εἰς Ἀκρόπολιν ἰέναι κἀκεῖ καθεύδειν, τοὺς δὲ πρυτάνεις ἐν τῇ Θόλῳ. βοιωτοὶ δὲ πεπυσμένοι τὰ πράγματα ἐπὶ τοῖς ὁρίοις ἦσαν ἐξεστρατευμένοι. τὸν δὲ τῶν κακῶν τούτων αἴτιον Διοκλείδην, ὡς σωτῆρα ὄντα τῆς πόλεως, ἐπὶ ζεύγους ἦγον εἰς τὸ Πρυτανεῖον [3] στεφανώσαντες, καὶ ἐδείπνει ἐκεῖ.

ια.' Πρῶτον μὲν οὖν ταῦτα, ὦ ἄνδρες, ὁπόσοι ὑμῶν πάρεσαν, ἀναμιμνήσκεσθε καὶ τοὺς ἄλλους διδάσκετε· εἶτα

[1] Ἀφεφίων [2] εἰς γε [3] στεφανώσοντες

IDEM.

Ἔνδον] Id est, ἐν τῷ βουλευτηρίῳ. IDEM.

Σκαμανδρίου] Scamandrii decretum videtur interdixisse, ne quis civis Atheniensis tormentis subjiceretur. IDEM.

Ἑστίαν] Aram Vestæ, quæ in aditu Curiæ vel Senaculi erat, ad quam etiam Theramenes confugit. IDEM.

Ἐξεγγυηθέντας] Mos Atticus postulat ἐξεγγυηθέντες. SLUITER.

Αὐτομολήσαντες] Malim αὐτομολήσοντες in futuro. REISK.

Ἐξελθοῦσα] Malim sic distingui: ἐξελθοῦσα, *cum esset e Senaculo egressus*, ἐν ἀπορρήτῳ συνέλαβεν ἡμᾶς, *clam nos corripuit*. Sed verti aliter. IDEM.

Μακρῷ τείχει] Vid. Meurs. Athen. Att. l. iii. c. 11. et Att. Lect. l. iii. c. 4.

Εἰς γε Θησεῖον] Pro particula γε malim articulum τό. REISK. Vid. Meurs. Att. Lect. l. v. c. 15.

Ἱπποδαμίαν] Vid. Meurs. Att. Lect. l. v. c. 19.

Ἔτι νυκτὸς] Non sunt hæc noctu gesta, sed interdiu: neque jussi equites adhuc noctu, id est ante diluculum, ad stationem illam venire, sed noctu vel versus noctem. Itaque legendum videtur, vel ἰὼν νυκτὸς, *noctu*, vel ἰὼν νύκτα, *sub noctem*. SLUITER.

Ἀναμίμνησκεσθε] Vid. Meurs. Athen. Att. l. i. c. 7.

δέ μοι τοὺς πρυτάνεις [1] κάλει τοὺς τότε πρυτανεύσαντας, 15
Φιλοκράτη καὶ τοὺς ἄλλους [διδάσκετε].

ΜΑΡΤΥΡΕΣ.

φέρε δὴ, καὶ τὰ ὀνόματα ὑμῖν ἀναγνώσομαι τῶν ἀνδρῶν
24 ὧν [2] ἀπέγραψεν, ἵν' εἰδῆτε ὅσους μοι τῶν συγγενῶν ἀπώλλυε.
πρῶτον μὲν τὸν πατέρα, εἶτα δὲ τὸν κηδεστὴν, τὸν μὲν συν-
ειδότα ἀποδεικνὺς, τοῦ δ' ἐν τῇ οἰκίᾳ φάσκων τὴν σύνοδον
γενέσθαι. τῶν δ' ἄλλων ἀκούσεσθε τὰ ὀνόματα. καὶ αὐ-
τοῖς ἀναγίνωσκε.

Χαρμίδης Ἀριστοτέλους.

οὗτος ἀνεψιὸς ἐμός· ἡ [3] μήτηρ ἡ ἐκείνου καὶ ὁ πατὴρ ὁ ἐμὸς 20
ἀδελφοί.

Ταυρέας.

οὑτοσὶ ἀνεψιὸς τοῦ πατρός.

Νισαῖος.

υἱὸς Ταυρέου.

Καλλίας ὁ Ἀλκμαίονος.

ἀνεψιὸς τοῦ πατρός.

Εὔφημος.

Καλλίου τοῦ Τηλεκλέους ἀδελφός.

Φρύνιχος ὁ ὀρχησάμενος.

ἀνεψιός.

[1] εἰσκάλει [2] ἔγραψεν [3] μήτηρ ἐκείνου καὶ ὁ ἐμὸς πατὴρ

Διδάσκετε] Vocabulum διδάσκετε tollendum est, ut perperam e versu ult. p. 243. iteratum, ideoque uncis inclusi. Reisk.

Ἔγραψεν] Non improbo. Sed ἀπογράφειν in ea re verbum est proprium. Idem.

Ἀπώλλυε] Perditum ivit, pessumdare laboravit. Idem.

Κηδεστὴν] Calliam, meæ sororis maritum. Idem.

Ἀναγίνωσκε] Post ἀναγίνωσκε titulum ΟΝΟΜΑΤΑ excidisse censet Markland ad Lysiam p. 133. 20. ed. Steph. Sluiter.

Ὁ ὀρχησάμενος ἀνεψιὸς] Num ὁ Ἐρχιεὺς, ἐμὸς ἀνεψιός. an ὁ Ἀρχεβιάδου, ἐμὸς ἀν. an ὁ Ἀκουμενοῦ ἀνεψιός. Acumenus aliquoties ante fuit nominatus. Idem.

Φρύνιχος ὁ ὀρχησάμενος, ἀνεψιὸς] E codice notatur Ὀρχησαμένου. Reiske complures conjecturas proponit. At non opus est quidquam mutare. Phrynichi, tempore Andocidis, illustriores quatuor fuerunt: celeberrimus omnium fuit acer ille Alcibiadis adversarius, qui odio illius fortunam patriæ Lacedæmoniis prodere studuit; de quo vid. Thucydides l. VIII. passim c. 25—92. Lysias p. 136. 159. et 171. ed. Steph. Plutarchus in Alcib. p. 204. seq. Suidas v. Φρυνίχου πάλαισμα. Tres præterea alii Phrynichi memorantur a Scholiaste Aristophanis ad illa in Avibus v. 750.

Ἔνθεν, ὥσπερ ἡ μέλιττα,
Φρύνιχος ἀμβροσίων
Μελέων ἀπεβόσκετο καρπὸν, ἀεὶ
Φέρων γλυκεῖαν ᾠδήν.

Τέτταρες δὲ, ait Scholiastes, ἐγένοντο Φρύνιχοι· ὁ μὲν εἷς οὗ νῦν μνημονεύει, Πολυφράδμονος παῖς, ποιητὴς ἡδὺς ἐν τοῖς μέλεσιν· ὁ ἕτερος Χορεκλέους παῖς ὑποκριτής· τρίτος Φρύνιχος ὁ κωμικὸς, οὗ μέμνηται Ἑρμίππος ἐν Φορμοφόροις, ὡς ἀλλότρια ὑποβαλλομένου ποιήματα· quartus is, de quo diximus: totidemque enumerat Scholiastes ad Ran. v. 13. Hunc autem Aristophanis locum male de Comico Phrynicho accepit Suidas. Tragicus ille fuit simplicior quidem, nec satis excultus, at dulcis tamen in poesi, floruitque ante Æschylum. Vide Aristophanem in Ran. v. 941. et 1333. seqq. in Vespis v.

Εὐκράτης, ὁ Νικίου ἀδελφός.
κηδεστὴς οὗτος Καλλίου.

Κριτίας.
ἀνεψιὸς [Εὐκρατίας, ὁ Νικίου ἀδελφὸς] καὶ οὗτος τοῦ πατρός· αἱ μητέρες ἀδελφαί. τούτους [1] πάντας ἐν τοῖς τετταράκοντα ἀνδράσιν ἀπέγραψεν.

ιβ'. Ἐπειδὴ δὲ ἐδεδέμεθα πάντες ἐν τῷ αὐτῷ, καὶ νύξ τε ἦν καὶ τὸ δεσμωτήριον συνεκέκλειστο, ἦκον δὲ, τῷ μὲν μήτηρ, τῷ δὲ ἀδελφὴ, τῷ δὲ γυνὴ καὶ παῖδες, ἦν δὲ ἁπὴ καὶ οἰκτος κλαιόντων καὶ ὀδυρομένων τὰ παρόντα κακὰ, λέγει πρός με Χαρμίδης, ὢν μὲν ἀνεψιὸς, ἡλικιώτης δὲ καὶ συν-

[1] ἅπαντας

220. et 269. et Scholia ad illa loca: conf. Thesmoph. v. 171. Alius fuit Tragicus Phrynichus, Melanthæ filius, hoc, ut videtur, paullo antiquior, quem Athenienses ob fabulam, Μιλήτου ἅλωσιν, mille drachmis mulctarunt. Plura de his peti possunt ex Fabricio Bibl. Gr. Vol. I. p. 687. et 732. qui tamen posteriore loco non recte Phrynichum *Melicum poetam suavem* a Tragico distinguit, ex male intellecto Scholio ad Aves l. c. Quartus Phrynichus poeta fuit veteris Comœdiæ, cujus mentio est apud Aristophanem Nub. v. 553. seqq.

Εὔπολις μὲν τὸν Μαρικᾶν πρώτιστον παρέλαυσεν,
Ἐπιτρέψας τοὺς ἡμετέρους Ἰσοπολίας παιδὸς κακῶς·
Πρισθεὶς αὐτῷ γραῦν μεθύσαι, τοῦ κόρδακος οὕνεκα,
Ἣν Φρύνιχος πάλαι ποτοῦσ', ἣν τὸ κῶτος ἦσθιεν.

Ubi præter alia notat Scholiastes: εἰσῆγε γραῦν Φρύνιχος ὑπὸ κότους ἰσθιομένην, κατὰ μίμησιν Ἀνδρομέδας, διὰ γίλωτα τῶν θεατῶν ἣν δὲ καὶ αὐτὸς καμῳδίας ποιητής. Reprehendit eum Comicus in Ran. v. 12. seqq.

Τί δῆτ' ἴδει με ταῦτα τὰ σκεύη φέρειν;
Εἴσπερ ποιήσω μηδὲν ἧττον Φρύνιχος
Εἴωθα ποιεῖν, καὶ λύπις κ' Ἀμειψίας;
Σκεύη φέρουσ' ἑκάστοτ' ἐν κωμῳδίᾳ.

ad q. l. Scholia monent, Didymo judice loqui poetam de Comico Phrynicho Eunomidæ filio, qui notetur ut peregrinus, et malus poeta, quippe qui aliena sæpe proferat, et metrum negligat. Animadvertit tamen nihil tale fecisse Phrynichum in Dramatibus, quæ ipse viderit, forte autem in aliis, quæ perierint, illud commisisse. Omisit hæc loca Fabricius, qui Bibl. Gr. Vol. I. p. 732. et 783. de Comico Phrynicho agit, male Eunomidæ filium ab hoc diversum credens. De Poetis hujus nominis conf. Meursius in Biblioth. Attic. Quintus Phrynichus memoratur histrio Tragicus, quem notari ab Aristophane Nub. 1087. his verbis:

Τί δαί; τραγῳδοῦσ' ἐκ τίνων;
Ἐξ εὐρυπρώκτων

monet Scholiastes: εἰς Φρύνιχον φασὶν αὐτὸν ἀποτείνειν τὸν τραγικὸν χορευτὴν ἐπεὶ διεβάλλετο ἐπὶ μαλακίᾳ διὰ ποικιλίαν σχημάτων. Inter vinolentos homines et protervos eum collocat Comicus in Vesp. v. 1293. atque illum in saltando crus altius tollere fuisse solitum significat in eadem fabula v. 1515. καὶ τὸ φρυνίχειον Ἐκλακτισάτω τις. Conf. Scholia ad illa loca. Hunc etiam respicere videtur ibid. v. 1481. seqq.

Πτήσσει Φρύνιχος ὡς τις ἀλέκτωρ.
Σκίλος οὐράνιόν γ' ἐκλακτίζων
Πρωκτὸς χάσκει.

quamvis Scholiastes hoc de Melanthæ filio dictum velit. Nos igitur Φρύνιχον τὸν ὀρχησάμενον, ἀνεψιὸν Andocidis, actorem illum Tragœdiarum fuisse censemus. Neque enim illud munus turpe fuit Athenis. SLUITER.

Εὐκρατίας] Vocabula Εὐκρατίας ὁ Νικίου ἀδελφὸς ut amputanda uncis inclusi. liquet enim perperam e proximo esse iterata. REISK.

Εὐκρατίας, ὁ Νικίου ἀδελφὸς κ. τ. λ.] Reiskio hæc vitiata censenti merito assentitur Valckenaerius, existimans hæc sine Codice sanari non posse. Interea conjicit an, deletis Κριτίας ἀνεψιὸς, legendum sit: Εὐκράτης, ὁ Νικίου ἀδελφὸς, κηδεστὴς οὗτος Καλλίου· Κριτίας ὁ Νικίου ἀδελφὸς καὶ οὗτος (nempe Nicias) τοῦ πατρὸς, αἵτε μητέρες ἀδελφαί. SLUITER.

Πατρὸς· αἱ μητέραι] Π. πατρὸς ἀνεψιός· αἱ μητέρες. H. STEPHAN. Dedi μητέρες. malem tamen adhuc γὰρ addi. αἱ γὰρ μητέρες—. REISK.

ἐκτραφεὶς ἐν τῇ οἰκίᾳ τῇ ἡμετέρᾳ ἐκ παιδὸς, ὅτι, Ἀνδοκίδη, τῶν μὲν παρόντων κακῶν ὁρᾷς τὸ μέγεθος, ἐγὼ δ' ἐν μὲν τῷ παρελθόντι χρόνῳ οὐδὲν ἐδεόμην λέγειν οὐδέ σε λυπεῖν, νῦν δὲ ἀναγκάζομαι διὰ τὴν παροῦσαν ἡμῖν συμφοράν. οἷς γὰρ ἐχρῶ καὶ οἷς συνῆσθα ἄνευ ἡμῶν τῶν συγγενῶν, οὗτοι ἐπὶ ταῖς αἰτίαις δι' ἃς ἡμεῖς ἀπολλύμεθα, οἱ μὲν αὐτῶν τεθνᾶσιν, οἱ δὲ οἴχονται φεύγοντες, σφῶν αὐτῶν καταγνόντες ἀδικεῖν ..... εἰ ἤκουσάς τι τούτου τοῦ πράγματος τοῦ γενομένου, εἰπὲ, καὶ πρῶτον μὲν σεαυτὸν σῶσον, εἶτα δὲ τὸν πατέρα ὃν εἰκός ἐστί σε μάλιστα φιλεῖν, εἶτα δὲ τὸν κηδεστὴν ὃς ἔχει σου τὴν ἀδελφὴν ἥπερ σοι μόνη ἐστὶν, ἔπειτα δὲ τοὺς ἄλλους συγγενεῖς καὶ ἀναγκαίους τοσούτους ὄντας, ἔτι δὲ ἐμὲ, ὃς ἐν ἅπαντι τῷ βίῳ ἠνίασα μέν σε οὐδὲν πώποτε, προθυμότατος δὲ εἰς σὲ καὶ τὰ σὰ πράγματα εἰμὶ, ὅ τι ἂν δέοι ποιεῖν. λέγοντος δὲ, ὦ ἄνδρες, Χαρμίδου ταῦτα, ἀντιβολούντων δὲ τῶν ἄλλων καὶ ἱκετεύοντος ἑνὸς ἑκάστου, ἐνεθυμήθην πρὸς ἐμαυτὸν, Ὦ πάντων ἐγὼ δεινοτάτῃ συμφορᾷ περιπεσὼν, πότερα περιΐδω τοὺς ἐμαυτοῦ συγγενεῖς ἀπολλυμένους ἀδίκως, καὶ αὐτούς τε ἀποθανόντας καὶ τὰ χρήματα αὐτῶν δημευθέντα, πρὸς δὲ τούτοις ἀναγραφέντας ἐν στήλαις ὡς ὄντας ἀλιτηρίους τῶν θεῶν τοὺς οὐδενὸς αἰτίους τῶν γεγενημένων, ἔτι δὲ τριακοσίους Ἀθηναίων μέλλοντας ἀδίκως [1]ἀπολέσθαι, τὴν δὲ πόλιν ἐν κακοῖς οὖσαν τοῖς μεγίστοις καὶ ὑποψίαν εἰς ἀλλήλους ἔχοντας, ἢ εἶπω Ἀθηναίοις ἅπερ ἤκουσα Εὐφιλήτου αὐτοῦ τοῦ ποιήσαντος; ἔτι δὲ ἐπὶ

[1] ἀπολεῖσθαι

Εἰ ἤκουσας] Interpone οὖν aut τοίνυν. IDEM.

Πράγματος τοῦ γενομένου, εἰπὲ] Distinguo et lego sic: πράγματος, τὰ γενόμενα εἰπέ. v. p. 8. 10. et 20. IDEM.

Ἔχοντας, ἢ εἶπω Ἀθηναίοις] Vox Ἀθηναίοις loco videtur mota Clar. Luzacio, ita emendanda, ut jungatur cum ἔχοντας, quod nemen, quo pertineat, non habet; neque enim conjungi potest cum πόλιν — εἶπω. Itaque legit Vir Clar. καὶ ὑποψίαν εἰς ἀλλήλους ἔχοντας Ἀθηναίους, ἢ εἶπω ἅπερ ἤκουσα Εὐφιλήτου αὐτοῦ τοῦ ποιήσαντος. SLUITER.

τούτοις καὶ τόδε ἐνεθυμήθην, ὦ ἄνδρες, καὶ ἐλογιζόμην πρὸς ἐμαυτὸν τοὺς ἐξημαρτηκότας καὶ τὸ ἔργον [1] εἰργασμένους, ὅτι οἱ μὲν αὐτῶν ἤδη ἐτεθνήκεσαν ὑπὸ Τεύκρου μηνυθέντες, οἱ δὲ φεύγοντες ᾤχοντο καὶ αὐτῶν θάνατος κατέγνωστο τέτταρες δὲ ἦσαν ὑπόλοιποι οἳ οὐκ ἐμηνύθησαν ὑπὸ Τεύκρου τῶν πεποιηκότων, Παναίτιος, Χαιρέδημος, Διάκριτος, Λυσίστρατος, οὓς εἰκὸς ἦν ἁπάντων μάλιστα δοκεῖν εἶναι τούτων τῶν ἀνδρῶν οὓς ἐμήνυσε Διοκλείδης, φίλους ὄντας τῶν ἀπολωλότων ἤδη. καὶ τοῖς μὲν οὐδέπω βέβαιος ἦν ἡ σωτηρία, τοῖς δὲ ἐμοῖς οἰκείοις φανερὸς ὄλεθρος, εἰ μή τις ἐρεῖ Ἀθηναίοις τὰ γενόμενα. ἐδόκει οὖν μοι κρεῖττον εἶναι τέτταρας ἄνδρας ἀποστερῆσαι τῆς πατρίδος δικαίως, οἳ νῦν ζῶσι καὶ κατεληλύθασι καὶ ἔχουσι τὰ σφέτερα αὐτῶν, ἢ ἐκείνους ἀποθανόντας ἀδίκως περιιδεῖν. εἰ οὖν τινὶ ὑμῶν, ὦ ἄνδρες, [2] ἢ τῶν ἄλλων πολιτῶν γνώμη τοιαύτη παρεισπέπτωκεν πρότερον περὶ ἐμοῦ, ὡς ἄρα ἐγὼ ἐμήνυσα κατὰ 27
τῶν ἑταίρων τῶν ἐμαυτοῦ, ὅπως ἐκεῖνοι μὲν ἀπόλοιντο, ἐγὼ δὲ σωθείην — ἃ ἐλογοποίουν οἱ ἐχθροὶ περὶ ἐμοῦ, βουλόμενοι διαβάλλειν με —, σκοπεῖσθε ἐξ αὐτῶν τῶν γεγενημένων. νῦν γὰρ ἐμὲ μὲν λόγον δίδόναι τῶν ἐμοὶ πεπραγμένων μετὰ τῆς ἀληθείας, αὐτῶν παρόντων οἵπερ ἥμαρτον καὶ ἔφυγον ταῦτα ποιήσαντες, ἴσασι δὲ ἄριστα εἴτε ψεύδομαι εἴτε ἀληθῆ λέγω, ἔξεστι δὲ αὐτοῖς ἐλέγχειν με ἐν τῷ ἐμῷ λόγῳ· ἐγὼ γὰρ ἐφίημι· ὑμᾶς δὲ δεῖ μαθεῖν τὰ γενόμενα. ἐμοὶ γάρ, ὦ ἄνδρες, τοῦδε τοῦ ἀγῶνος τοῦτ' ἔστι μέγιστον, σωθέντι [3] μὴ δοκεῖν [4] κακῷ εἶναι, εἶτα δὲ καὶ

[1] ἐργασαμένους [2] Deest ἤ. [3] μοι [4] κακὸν

Διάκριτος] Non videtur hoc nomen Atticum esse, sed potius Διάκριτον, *a Jove delectum*, ut nomen fuit Θεόκριτος, *a diis delectus*, vel *prælatus*. REISK.

Διάκριτος] Nomen τοῦ Διακρίτου in Διάκριτον mutari mavult Valckenaer: uti est Oratio Demosthenis πρὸς τὴν Διακρίτου παραγραφήν. item p. 9. v. 36. ed. Steph. SLUITER.

Δεικῶν] Post δεικῶν videtur αἰτίους desse. quos probabile erat fore, ut nemo non existimaret in primis in culpa et auctores sceleris esse. REISK.

Φανερὸς ὄλεθρος] Interpono articulum ὁ, ob præcedens οὕτω βέβαιος ἦν ἡ σωτηρία. IDEM.

Εἰ οὖν τινὶ ὑμῶν, ὦ ἄνδρες, τῶν ἄλλων πολιτῶν] Manifesto deest particula ἢ, et legendum: τινὶ ὑμῶν — ἢ τῶν ἄλλων πολιτῶν. De hoc usu verbi παρίστημι egit D'Orvillius ad Charitonem. p. 391. SLUITER.

Λόγον διδόναι] Interpone δεῖ. REISK.

Σωθέντι μοι δοκεῖν] Leg. vid. σωθέντι μὴ δοκεῖν ὑμῖν κακὸν εἶναι (vel κακὸς εἶναι). Illud ὑμῖν ut addatur, necessarium facit oppositum καὶ τοὺς ἄλλους ἅπαντας. v. p. 248. 8. IDEM.

Σωθέντι μοι δοκεῖν κακὸν εἶναι] Jure Reiskius μοι mutari vult in μὴ, et ἡμῖν inserit inter δοκεῖν et κακὸν: pro κακὸν Aldus edidit κακῶν: ad marginem notatum erat κακῷ, quod equidem præferam, quamvis et κακὸν stare possit. SLUITER.

τοὺς ἄλλους ἅπαντας μαθεῖν ὅτι οὔτε μετὰ κακίας οὔτε μετ' [1] ἀνανδρίας οὐδεμιᾶς τῶν γεγενημένων πέπρακται ὑπ' ἐμοῦ οὐδέν, ἀλλὰ διὰ συμφορὰν γεγενημένην μάλιστα μὲν τῇ [2] πόλει, εἶτα καὶ ἡμῖν, εἶπον δὲ ἃ ἤκουσα Εὐφιλήτου προνοίᾳ μὲν τῶν συγγενῶν καὶ τῶν φίλων, προνοίᾳ δὲ τῆς πόλεως ἀπάσης, μετ' ἀρετῆς ἀλλ' οὐ [3] μετὰ κακίας, ὡς 25
28 ἐγὼ νομίζω. εἰ οὖν οὕτως ἔχει ταῦτα, σώζεσθαί τε ἀξιῶ καὶ δοκεῖν ὑμῖν εἶναι μὴ κακός. φέρε δὴ — χρὴ γὰρ, ὦ ἄνδρες, ἀνθρωπίνως περὶ τῶν πραγμάτων ἐκλογίζεσθαι, ὥσπερ ἂν αὐτὸν ὄντα ἐν τῇ συμφορᾷ —, τί ἂν ὑμῶν ἕκαστος ἐποίησεν; εἰ μὲν γὰρ ἦν δυεῖν τὸ ἕτερον ἑλέσθαι, ἢ καλῶς ἀπολέσθαι ἢ αἰσχρῶς σωθῆναι, ἔχοι ἄν τις εἰπεῖν κακίαν εἶναι τὰ λεγόμενα· καίτοι πολλοὶ ἂν καὶ τοῦτο εἵλοντο, τὸ 30
ζῆν περὶ πλείονος ποιησάμενοι τοῦ καλῶς ἀποθανεῖν· ὅπου δὲ τούτων τὸ ἐναντιώτατον ἦν, σιωπήσαντι μὲν αὐτῷ τε αἴσχιστα ἀπολέσθαι μηδὲν ἀσεβήσαντι, ἔτι δὲ τὸν πατέρα περιιδεῖν [4] ἀπολόμενον καὶ τὸν κηδεστὴν καὶ τοὺς συγγενεῖς καὶ ἀνεψιοὺς τοσούτους, οὓς οὐδεὶς ἀπώλλυεν ἢ ἐγὼ μὴ εἰπὼν ὡς ἕτεροι ἥμαρτον. Διοκλείδης μὲν γὰρ ψευσάμενος ἔδησεν αὐτούς, σωτηρία δὲ αὐτῶν ἄλλη οὐδεμία ἦν ἢ πυθέσθαι 35
Ἀθηναίους πάντα τὰ πραχθέντα· φονεὺς οὖν αὐτῶν ἐγινόμην ἐγὼ μὴ εἰπὼν ὑμῖν ἃ ἤκουσα. ἔτι δὲ τριακοσίους Ἀθη-
29 ναίων ἀπώλλυον, καὶ ἡ πόλις ἐν κακοῖς τοῖς μεγίστοις ἐγίνετο. ταῦτα μὲν οὖν [5] ἦν ἐμοῦ μὴ εἰπόντος· εἰπὼν δὲ τὰ ὄντα αὐτός τε ἐσωζόμην καὶ τὸν πατέρα ἔσωζον καὶ τοὺς ἄλ-

[1] ἀδικίας [2] πολιτείᾳ τε καὶ ἡμῖν [3] μὴν [4] ἀπωλούμενον [5] Deest ἦν.

Μάλιστα μὲν τῇ πολιτείᾳ] Fort. μάλιστα μὲν τῇ πολιτείᾳ, εἶτα δὲ καὶ ἡμῖν. Reisk. Leg. credo: μάλιστα μὲν τῇ πόλει, εἶτα δὲ καὶ ἡμῖν. Sic p. 227. 10. πιστεύσας μάλιστα μὲν τῷ δικαίῳ, ἔπειτα δὲ καὶ ὑμῖν. Sluiter.

Εἶπον δὲ] Particula adversativa δὲ videtur inducenda esse. Reddidi quidem eam in Latinis: mollior tamen atque expeditior erit oratio, si δὲ omittatur. Reisk.

Πόλεως ἀπάσης, μετ' ἀρετῆς] Aut ἁπάσης est iterandum, ad hunc modum: πόλεως ἁπάσης, ἁπάσης μετ' ἀρετῆς. aut saltim sic est distinguendum: πόλεως, ἁπάσης μετ' ἀρετῆς. Idem.

Μὴν κακίας] Pro μὲν leg. vid. μετά. ut modo dixerat μετ' ἀρετῆς, ita nunc subjicit ἀλλ' οὐ μετὰ κακίας. Reisk. Fortasse utrumque verbum retinendum: ἀλλ' οὐ μὲν μετὰ κακίας. Sluiter.

Αὐτὸν ὄντα] Subaudi τινὰ, aut ἕκαστον ὑμῶν e proximis. Reisk.

Τὰ λεγόμενα] Ea, quæ adhuc a me dicta et enarrata sunt. malim tamen τὰ γεγόμενα. a me facta, facinus meum. Idem.

Ὅπου δὲ] Apodosis hujus sententiæ per longissimas ambages circumductæ est versu 6. p. 249. in verbis ταῦτα δὲ πάντα συνῶν, ubi δὲ inseruit solummodo resumendæ orationi. Idem.

Αὐτῷ τε] Si τε servatur, addendum erit καὶ versu proximo post ἔτι δέ. Idem.

Ταῦτα μὲν οὖν] Subaudi ἐγίγνετ' ἄν, aut ἦν ἂν πάσχειν. Idem.

λους συγγενεῖς, καὶ τὴν πόλιν ἐκ φόβου καὶ κακῶν τῶν μεγίστων ἀπήλλαττον. φυγάδες δὲ δι' ἐμὲ τέτταρες ἄνδρες ἐγίνοντο, οἵπερ καὶ ἥμαρτον· τῶν δ' ἄλλων οἱ λοιποὶ πρότερον ὑπὸ Τεύκρου ἐμηνύθησαν. οὔτε δήπου οἱ τεθνεῶτες δι' ἐμὲ μᾶλλον ἐτέθνασαν, οὔτε οἱ φεύγοντες μᾶλλον ἔφευγον. ταῦτα δὲ πάντα σκοπῶν εὕρισκον, ὦ ἄνδρες, τῶν παρόντων κακῶν ταῦτα ἐλάχιστα εἶναι, εἰπεῖν τὰ γενόμενα ὡς τάχιστα καὶ ἐλέγξαι Διοκλείδην ψευσάμενον, καὶ τι-
9.1 μωρήσασθαι ἐκεῖνον, ὃς ἡμᾶς μὲν ἀπώλλυεν ἀδίκως, τὴν δὲ πόλιν ἐξηπάτα, ταῦτα δὲ ποιῶν μέγιστος εὐεργέτης ἐδόκει εἶναι καὶ χρήματα ἐλάμβανε. διὰ ταῦτα [1] εἶπον τῇ βουλῇ ὅτι εἰδείην τοὺς ποιήσαντας, καὶ ἐξήλεγξα τὰ γενόμενα, ὅτι εἰσηγήσατο μὲν πιόντων ἡμῶν ταύτην τὴν βουλὴν γενέσθαι Εὐφίλητος, ἀντεῖπον δὲ ἐγώ· καὶ τότε μὲν οὐ γέγενη-
5 ται δι' ἐμέ, ὕστερον δ' ἐγὼ μὲν ἐν Κυνοσάργει ἐπὶ [2] πωλίου

[1] εἶπον οὖν τῇ

[2] πωλίων ὃ μόνον ἀναβὰς

φίζου] Malim φίβων. IDEM.

Ἐλάμβανε. διὰ ταῦτα εἶπον οὖν] Sic malim distingui: ἐλάμβανε διὰ ταῦτα. *accipiebat propter hæc* (scil. διὰ τὴν μήνυσιν). Εἶπον οὖν — *Deferebam ergo.* IDEM.

Πιόντων ἡμῶν] Imo vero ἡμῶν, ut dedi de meo. IDEM. Recte Reiskius ἡμῶν restituit: eademque emendatio a Valckenaerio facta est. SLUITER.

Πωλίων ὃ μόνον] Ego lego πώλων, equuleum, parvulum equum, asturconem, ut Petronius appellat, ὅ μοι ἦν. *qui mihi erat.* Scaliger adscripserat πῶλον ὄντων aut πώλων ἀμυόντων. REISK.

Ἐπὶ πωλίων ὃ μόνον ἀναβὰς ἴστιον] Vir Doctus ad marginem Aldinæ adscripsit: "ἡμὸν ἦν, πωλίων autem equuleum accipio seu πώλων potius." Egregie in hoc loco versatum est Valckenaerii ingenium: de quo his verbis monuit me Luzacius Vir Clar. "Ἴστος ἀπαίδης est equus refractarius, teste Polluce apud Marklandum ad Lysiam p. 113. v. 13. ed. Steph. quem vide. Tentabat igitur primum Valckenaerius, an locus esset corrigendus hoc pacto: ἐπὶ πώλου ἀπαΐδη, ὃς μοι ἦν, ἀναβάς, quo fere modo rem etiam egit Reiskius. Præstat tamen, me quidem judice, altera Viri magni emendatio, qua legit: ἐπὶ πῶλον λειπογνάμενα ἀναβὰς ἴστιον. Istius vocis vestigia manifesta sunt in λεῖον ὃ μόνον, vocibus plane sibili. Vox rarior librarios fefellit. Est autem ἴστος vel potius πῶλος λειπογνάμων, equus junior, cujus ætas nondum e dentibus cognosci queat, atque adeo equus nondum subactus, nondum domitus, freni impatiens, hinc τὐφρακτάριος, *pervicax.* Γνάμωνες sunt dentes, ex quibus equorum ætas cognoscitur. Xenophon περὶ Ἱππικῆς p. 546. v. 37. edit. Steph. πρῶτον μὲν τοίνυν μὴ λαθέτω αὐτὸν τίς ἡλικία, ὁ γὰρ μηκέτι ἔχων γνάμωνας οὔτ' ἐλπίσιν εὐφραίνει, οὔτε ὠφέλιμος εὐπαιδάλακτος γίγνεται. — Hinc λειπογνάμων, cui hæc dentium indicatio deficit, sive pullus sit dentes nondum habens, nondum adultus, sive equus ætate jam provectior, cui dentes non amplius crescunt. Conf. Etymol. M. v. Ἄζελος col. 4. init. ubi addit — καὶ γνάμων ὁ ὀδούς, ὅτι ἀπὸ τούτου ἡ ἡλικία γνωρίζεται τῶν πώλων τε καὶ μόσχων — ἀφ' οὗ καὶ λειπογνάμονες καλοῦνται, οἱ μηκέτι διὰ τῶν ὀδόντων γνωσθῆναι δυνάμενοι. — Plura et egregia habet Eustathius ad Od. A. v. 155. p. 1404. v. 60. edit. Rom. (p. 352. v. 18. edit. Basil.) ubi et Aristophanem hac voce usum docet, quam ut rariorem in Lexiphanem suum c. 6. retulit Lucianus Opp. T. ii. p. 331. Docet pariter Eustathius non tantum τοὺς γνάμονας hos dentes dictos a Græcis, sed et τὸ γνῶμα. Consentit Hesychius in ista voce, ad q. l. vid. Viros Doctos, præsertim vero Kusterum ad Suidam v. ἀβολέτους p. 9. ut et Gatakerum Advers. Miscell. Posth. c. 10. T. I. Opp. col. 504. A. Itaque ἐπὶ πῶλον λειπογνάμενα ἀναβὰς ἴστιον optimo sensu vertitur: *cum equum adscendissem juniorem, nec dum domitum, et freni impatientem, aut refractarium, inde decidi.*" SLUITER.

30 ὅ μοι ἦν ἀναβὰς ἔπεσον καὶ τὴν κλεῖν συνετρίβην καὶ τὴν κεφαλὴν κατεάγην, φερόμενός τε ἐπὶ κλίνης ἀπεκομίσθην οἴκαδε· αἰσθόμενος δ' Εὐφίλητος ὡς [1] ἔχοιμι, λέγει πρὸς αὐτοὺς ὅτι πέπεισμαι ταῦτα συμποιεῖν καὶ ὡμολόγηκα αὐτῷ μεθέξειν τοῦ ἔργου καὶ περικόψειν τὸν Ἑρμῆν τὸν παρὰ [2] τὸ Φορβαντεῖον. ταῦτα δ' ἔλεγεν ἐξαπατῶν ἐκείνους· καὶ διὰ ταῦτα ὁ Ἑρμῆς ὃν ὁρᾶτε πάντες, ὁ παρὰ [3] τὴν πατρῴαν οἰκίαν τὴν ἡμετέραν, ὃν [4] ἡ Αἰγηΐς ἀνέθηκεν, οὐ περιεκόπη, μόνος τῶν Ἑρμῶν τῶν Ἀθήνησιν, ὡς ἐμοῦ τοῦτο ποιήσαντος, ὡς ἔφη πρὸς αὐτοὺς Εὐφίλητος. οἱ δ' αἰ-
31 σθόμενοι δεινὰ ἐποίουν, ὅτι εἰδείην μὲν τὸ πρᾶγμα, πεποιηκὼς δὲ οὐκ εἴην. προσελθόντες δέ μοι τῇ ὑστεραίᾳ [5] Μέλητος καὶ Εὐφίλητος ἔλεγον ὅτι γεγένηται, ὦ Ἀνδοκίδη, καὶ πέπρακται ἡμῖν ταῦτα. σὺ μέντοι, εἰ μὲν ἀξιοῖς ἡσυχίαν ἔχειν καὶ σιωπᾷν, ἕξεις ἡμᾶς ἐπιτηδείους ὥσπερ καὶ πρότερον· εἰ δὲ μὴ,

[1] ἥκοιμι [2] τὸν Φορβάντιον [3] Deest τήν. [4] Deest ἡ. [5] Μέλιτος

Ὡς ἥκοιμι] Interpone οὐχ. Sentiens Euphiletus, me in conciliabulum ipsorum haud esse venturum. Aut leg. ὡς ἔχοιμι. *quomodo me haberem.* Reisk.

Ὡς ἥκοιμι] Præclare quoque hoc loco Valckenaerius: de cujus emendatione Luzacii verba iterum describam. "Emendationi Reiskianæ qua scribit ὡς μὴ ἥκοιμι, præstat sine dubio Valckenaeriana ὡς κάμοιμι, *cum intellexisset Euphiletus, me lecto decumbere.* Neque enim, Andocidem jam tum absentem esse, satis erat: ut tute rem falsam asseverare posset Euphiletus, longiori opus erat absentia et ægritudine decumbentis ex vulnere: κάμνειν, *ægrotare, lecto decumbere,* seu ex morbo, seu ex vulnere. Sic mox p. 251. v. 6. ἔκαμνον καὶ οὐκ ἀνιστάμην ἐκ τῆς κλίνης: et p. 16. v. 3. ed. Steph. καμοῦσα ἀπέθανεν. Harpocration v. περίοδος de febribus intermittentibus tertiana ac quartana, καὶ γὰρ ἐπὶ τούτων, (forte ἀπὸ τούτων) οἱ κάμνοντες δοκοῦσιν ἐν ταῖς τῶν ἀνέσεων ἡμέραις μηδὲν νοσεῖν, ἀλλὰ ὑγιεῖς εἶναι. Apud Demosthenem π. στεφ. p. 307. v. 27. ed. R. est: νῦν ἡμῖν λέγεις ὑπὲρ τῶν παρεληλυθότων, ὥσπερ ἂν εἴ τις ἰατρὸς, ἀσθενοῦσι μὲν τοῖς κάμνουσιν εἰσιὼν, μὴ λέγοι μηδὲ δεικνύοι, δι' ὧν ἀποφεύξονται τὴν νόσον: ubi κάμνουσι Scholia interpretantur νοσοῦσι, certo argumento, Scholion pariter esse ἀσθενοῦσι μὲν, quas voces abundare, quivis Valckenaerio assentietur. Eleganter idem Vir magnus hoc verbum κάμνειν restituit Auctori Epistolarum Socraticarum, Epist. xxxii. p. 71. v. 23. ubi est: ὅτι δὲ τὰ καιριώτατα τοῦ σώματος καὶ τῷ ὄντι, ἡ κεφαλὴ καὶ τὰ ἐν αὐτῇ, περίεστιν, εὖ ἔχει: corrigit Valckenaerius: ὅτι δὲ τὰ καιριώτατα τοῦ σώματος κάμνοντι, ἡ κεφαλὴ καὶ τὰ ἐν αὐτῇ, περίεστιν, εὖ ἔχει. *Quod ægrotanti præcipuæ et maxime vitales tibi sanæ supersint corporis partes, caput et quæ sunt in capite, bene hoc se habet.* Sequitur τῶν δὲ λοιπῶν τὴν προσήκουσαν ἐπιμέλειαν ποιῶ μετά τε ἰατρῶν. κ. τ. λ." Sluiter.

Πρὸς αὐτοὺς] familiares suos tum penes se congressos. Reisk.

Ταῦτα] Ea, in quibus ipsi nunc versarentur, quæ animis atque deliberationibus agitarent. In continenti appellat τὸ ἔργον. v. vers. antep. Idem.

Παρὰ τὸν φορβάντιον] Lego παρὰ τὸν φορβαντεῖον, in neutro. *apud ædem Phorbantis.* Animadvertit hoc dudum quoque Vales. ad Harpocr. p. 197. et 337. Reisk. Vid. Meurs. Athen. Att. l. ii. c. 11.

Ὁ Ἑρμῆς cæt.] Respicit hunc locum Harpocration v. Ἀνδοκίδου Ἑρμῆς. Conf. quæ monui cap. II. Sluiter.

Παρὰ πατρῴαν] Malim τὴν interponi. Reisk.

Ποιήσαντος] Malim ποιήσαντος in futuro. aut si aoristum servamus, addi saltim debebit ἄν. Idem. Ποιήσαντος etiam corrigit Valckenaerius, quamvis dubitanter. Sluiter.

Ἐποίουν] Valckenaerio legendum videtur ἐποιοῦντο. Idem.

χαλεπώτεροί σοι ἡμεῖς [1] ἐχθροὶ ἐσόμεθα ἢ ἄλλοι τινὲς δι' ἡμᾶς φίλοι. εἶπον αὐτοῖς ὅτι νομίζοιμι μὲν διὰ τὸ πρᾶγμα Εὐφίλητον πονηρὸν εἶναι, ἐκείνοις δὲ οὐκ ἐμὲ δεινὸν εἶναι, ὅτι οἶδα, ἀλλὰ μᾶλλον αὐτὸ τὸ ἔργον πολλῷ, ὅτι πεποίηται. ὡς οὖν ἦν ταῦτ' ἀληθῆ, τόν τε παῖδα τὸν ἐμὸν παρέδωκα βασανίσαι, ὅτι ἔκαμνον καὶ οὐδ' ἀνιστάμην ἐκ τῆς κλίνης, καὶ τὰς θεραπαίνας ἔλαβον οἱ πρυ- 32
τάνεις, ὅθεν ὁρμώμενοι ταῦτ' ἐποίουν ἐκεῖνοι. ἐξελέγχοντες δὲ τὸ πρᾶγμα ἥ τε βουλὴ καὶ οἱ ζητηταὶ, ἐπειδὴ ἦν ᾗ ἐγὼ ἔλεγον καὶ ὡμολογεῖτο πανταχόθεν, τότε δὴ καλοῦσι τὸν Διοκλείδην· καὶ οὐ πολλῶν λόγων ἐδέησεν, ἀλλ' εὐθὺς ὡμολόγει ψεύδεσθαι, καὶ ἐδεῖτο σώζεσθαι φράσας τοὺς πείσαντας αὐτὸν λέγειν ταῦτα· εἶναι δὲ Ἀλκιβιάδην τὸν Φηγούσιον καὶ [2] Ἀμίαντον τὸν ἐξ Αἰγίνης. καὶ οὗτοι μὲν δείσαντες

[1] ἐχθροὶ ἡμεῖς

[2] Ἀμίαν τοῦτον ἐξ

Δι' ἡμᾶς φίλοι] Video quidem sententiam, sed in verbis hæret scabrities quædam, quæ quomodo complananda sit, haud reperio. Deesse aliquid apparet. sententia hæc est: χαλεπώτεροί σοι ἐχθροὶ ἐσόμεθα, ἢ ἄλλοι τινὲς δι' ἡμᾶς φίλοι σοι γενόμενοι δύναιντό σε εὐεργετεῖν καὶ ἐξαιρεῖσθαι ἐκ τῶν κινδύνων. Reisk.

Χαλεπώτεροί σοι ἐχθροὶ ἡμεῖς ἐσόμεθα, ἢ ἄλλοι τινὲς δι' ἡμᾶς φίλοι] De hisce verbis ad me scribentem ipsum audi Lusacium: "Scabritiem his inesse quandam vidit Reiskius, quæ quomodo complananda esset, haud reperiebat: deesse aliquid arbitratur. Sententia mihi hæc esse videtur: *Si tu nos prodas, graviores tibi nos erimus inimici, quam utilis tibi futura est hæc proditio, magisque tibi nocebimus, quam proderunt, quos per proditionem nostram demeruaris et tibi conciliaveris.* Fortassis ita legendum: χαλεπώτεροί σοι ἐχθροὶ ἡμεῖς ἐσόμεθα, ἢ λυσιτελεῖς δι' ἡμᾶς φίλοι. Vicini sunt ductus literarum ἄλλοι τινὲς et λυσιτελεῖς. Porro φίλοι δι' ἡμᾶς sunt, *quos tibi in nostra causa, seu per nos proditos conciliaveris.* Sic mox p. 252. v. 3. ἐλύσατε τοὺς ἐμοὺς συγγενεῖς δι' ἐμέ. *me vobis talia denunciante, consanguineos meos vinculis liberastis:* v. 15. οὗτοι μὲν ἔφυγον δι' ἐμέ· *ego delatione mea auctor fui, ut hi in exilium ejicerentur;* dein v. 18. ὁρῶσι τοῦ ἡλίου τὸ φῶς δι' ἐμέ. Pag. 16. v. 26. ed. Steph. est τεθνάναι νομίσασα λυσιτελεῖν, ἢ ζῆν ὁρῶσα τὰ γινόμενα: ubi μᾶλλον intelligitur, uti alibi sæpius. Vere Lysias δημ. κατ. ἀπ. p. 174. v. 13. ed. Steph. οὐκ ἄξιον τούτοις πολλάκις χρῆσθαι συμβούλοις, οἷς οὐδὲ ἅπαξ ἐλυσιτέλησε πειθομένοις." Sluiter.

Οὐκ ἐμὲ δεινὸν εἶναι ὅτι οἶδα] Idem est ac si dixisset: οὐ τοῦτο ὑμῖν ἐστὶ δεινὸν (φοβερὸν καὶ χαλεπὸν), ὅτι ἐγὼ σύνοιδα ὑμῖν τὸ πρᾶγμα. Aut: οὐκ ἐγὼ ὑμῖν εἰμὶ δεινὸς (id est, φοβερὸς) διὰ τὸ συνειδέναι. Reisk.

Ἔργον, πολλῷ ὅτι] Distinguo sic: ἔργον πολλῷ, rem ipsam multo esse formidabiliorem, ὅτι — cohæret πολλῷ cum μᾶλλον. idem est ac si dixisset: πολλῷ μᾶλλον δεινὸν εἶναι — vel, πολλῷ δεινότερον εἶναι. Idem.

Βασανίσαι, ὅτι] Interponendum videtur εἰδότα. Idem.

Καὶ τὰς θεραπαίνας] Videtur sic locus corrigendus: καὶ τὰς θεραπαίνας δὲ λαβόντες οἱ πρυτάνεις ἐζήτουν, ὅθεν ὁρμώμενοι. *ancillas quoque cum prytanes ad tormenta vocassent, inquirebant ex iis, undenam heri ipsarum moti (qua de causa) tantum scelus ausi essent.* Possit locus hiulcus etiam sic expleri: καὶ τὰς θεραπαίνας [παρέδωκα scil.] ἃς ζητοῦντες οἱ πρυτάνεις ἔλαβον, pro ἃς λαβόντες ἐζήτουν οἱ πρυτάνεις. Idem.

Ἀπήειτε] Subaudi οἴκοι. Idem.

Ἀμίαν τοῦτον ἐξ Αἰγίνης] Fort. Ἀμίαντον τὸν ἐξ Αἰγίνης. Idem.

Ἀμίαν τοῦτον ἐξ Αἰγίνης] De hisce sententiam suam jam prodidit Valckenaerius Diatr. Eurip. p. 293. c. In Adversariis ita scripserat. "Quid? an causam pereranti Andocidi aderat peregrinus Ægineta? Cras credam; interim corrigam καὶ Ἀμίαντον τὸν ἐξ Αἰγίνης." Andocidem hanc causam egisse in senatu, sæpius monet Valckenaerius, uti p. 6. v. 41. h. l. et

ᾤχοντο φεύγοντες· ὑμεῖς δὲ ἀκούσαντες ταῦτα, Διοκλείδην μὲν τῷ δικαστηρίῳ παραδόντες ἀπεκτείνατε, τοὺς δὲ δεδεμένους καὶ μέλλοντας ἀπολεῖσθαι ἐλύσατε, τοὺς ἐμοὺς συγγενεῖς, δι' ἐμέ, καὶ τοὺς φεύγοντας κατεδέξασθε. αὐτοὶ δὲ λαβόντες τὰ ὅπλα ἀπήειτε, πολλῶν κακῶν καὶ κινδύνων ἀπαλλαγέντες. ἐν οἷς ἐγώ, ὦ ἄνδρες, τῆς μὲν τύχης ἢ ἐχρησάμην δικαίως ἂν ὑπὸ πάντων ἐλεηθείην, τῶν δὲ γινομένων ἕνεκεν εἰκότως ἀνὴρ ἄριστος δοκοίην εἶναι, ὅστις εἰσηγησαμένῳ μὲν Εὐφιλήτῳ πίστιν τῶν ἐν ἀνθρώποις ἀπιστοτάτην ἠναντιώθην καὶ ἀντεῖπον, καὶ ἐλοιδόρησα ἐκείνῳ ὧν ἦν ἄξιος· ἁμαρτόντων δ' ἐκείνων τὴν ἁμαρτίαν αὐτοῖς συνέκρυψα, καὶ μηνύσαντος κατ' αὐτῶν Τεύκρου οἱ μὲν αὐτῶν ἀπέθανον· οἱ δ' ἔφυγον, πρὶν ἡμᾶς ὑπὸ Διοκλείδου δεθῆναι καὶ μέλλειν ἀπολεῖσθαι. τότε δὲ ἀπέγραψα τέτταρας ἄνδρας, Παναίτιον, Διάκριτον, Λυσίστρατον, Χαιρέδημον. οὗτοι μὲν ἔφυγον δι' ἐμέ, ὁμολογῶ· ἐσώθη δέ γε ὁ πατὴρ, ὁ κηδεστὴς, ἀνεψιοὶ τρεῖς, τῶν ἄλλων συγγενῶν ἑπτά, μέλλοντες ἀποθανεῖσθαι ἀδίκως· οἳ νῦν ὁρῶσι τοῦ ἡλίου τὸ φῶς δι' ἐμὲ, καὶ αὐτοὶ ὁμολογοῦσιν· ὁ δὲ τὴν πόλιν ὅλην συνταράξας καὶ εἰς τοὺς ἐσχάτους κινδύνους καταστήσας ἐξηλέγχθη, ὑμεῖς δὲ ἀπηλλάγητε μεγάλων φόβων καὶ τῶν εἰς ἀλλήλους ὑποψιῶν. καὶ ταῦτ' εἰ ἀληθῆ λέγω, ὦ ἄνδρες, ἀναμιμνήσκεσθε, καὶ οἱ ἰδόντες διδάσκετε τοὺς ἄλλους. σὺ δέ μοι αὐτοὺς κάλει τοὺς λυθέντας δι' ἐμέ· ἄριστα γὰρ ἂν εἰδότες τὰ γενόμενα λέγοιεν εἰς τούτους. οὕτωσὶ δὲ ἔχει, ὦ ἄνδρες· μέχρι τούτου ἀναβήσονται καὶ λέξουσιν ὑμῖν, ἕως ἂν ἀκροᾶσθαι βούλησθε, ἔπειτα δ' ἐγὼ περὶ τῶν ἄλλων ἀπολογήσομαι.

ιγ'. Περὶ μὲν οὖν τῶν τότε γενομένων ἀκηκόατε πάντα

σθε, ὁρᾶτε μὴ οὐκ ἐμοὶ μάλιστα τῶν πολιτῶν προσήκει λόγον δοῦναι τῶν γεγενημένων, ἀλλὰ πολλοῖς ἑτέροις μᾶλλον, τοῦτο μὲν οἷς ὑμεῖς ἐναντία μαχεσάμενοι διηλλάγητε καὶ ὅρκους ὠμόσατε, τοῦτο δὲ οὓς φεύγοντας κατηγάγετε, 52 τοῦτο δὲ οὓς ἀτίμους ὄντας ἐπιτίμους ἐποιήσατε· ὧν [1] εἵνεκα καὶ στήλας ἀνείλετε καὶ νόμους ἀκύρους ἐποιήσατε καὶ [2][τὰ] ψηφίσματα ἐξηλείψατε· οἱ νυνὶ μένουσιν ἐν τῇ πόλει πιστεύοντες ὑμῖν, ὦ ἄνδρες. εἰ οὖν γνώσονται ὑμᾶς ἀποδεχομένους τὰς κατηγορίας τῶν πρότερον γεγενημένων, τίνα αὐτοὺς οἴεσθε γνώμην ἕξειν περὶ σφῶν αὐτῶν; ἢ τίνα αὐτῶν ἐθελήσειν εἰς ἀγῶνας καθίστασθαι ἕνεκα τῶν πρότερον γεγενημένων; φανήσονται γὰρ πολλοὶ μὲν ἐχθροί, πολλοὶ δὲ συκοφάνται, οἳ καταστήσουσιν αὐτῶν ἕκαστον εἰς ἀγῶνα. ἥκουσι δὲ νυνὶ ἀκροασόμενοι ἀμφότεροι, οὐ τὴν αὐτὴν γνώμην ἔχοντες ἀλλήλοις· ἀλλ' οἱ μὲν εἰσόμενοι, [3] εἰ χρὴ πιστεύειν τοῖς νόμοις τοῖς κειμένοις καὶ τοῖς ὅρκοις οὓς ὠμόσατε ἀλλήλοις, οἱ δὲ ἀποπειρώμενοι τῆς ὑμετέρας γνώμης, εἰ [4] αὐτοῖς ἐξέσται ἀδεῶς συκοφαντεῖν καὶ γράφεσθαι, τοὺς δὲ ἐνδεικνύναι, τοὺς δὲ ἀπάγειν. οὕτως οὖν ἔχει, ὦ ἄνδρες· ὁ μὲν ἀγὼν ἐν τῷ σώματι τῷ ἐμῷ καθέστηκεν, ἡ δὲ ψῆφος ἡ ὑμετέρα δημοσίᾳ κρίνει πότερον χρὴ τοῖς νόμοις τοῖς ὑμετέροις πιστεύειν ἢ τοὺς συκοφάντας παρασκευάζεσθαι, ἢ φεύγειν αὐτοὺς ἐκ τῆς πόλεως καὶ ἀπιέναι ὡς 53 τάχιστα.

ιή. Ἵνα δὲ εἰδῆτε, ὦ ἄνδρες, ὅτι τὰ πεποιημένα ὑμῖν εἰς ὁμόνοιαν οὐ κακῶς ἔχει, ἀλλὰ τὰ προσήκοντα καὶ τὰ συμφέροντα ὑμῖν αὐτοῖς ἐποιήσατε, βραχέα βούλομαι καὶ περὶ τούτων εἰπεῖν. οἱ γὰρ πατέρες οἱ ὑμέτεροι, γενομένων τῇ πόλει κακῶν μεγάλων, ὅτε οἱ τύραννοι μὲν εἶχον τὴν πόλιν,

[1] ἕνεκα [2] Absunt uncis. [3] εἰ ἢ χρὴ [4] αὐτοὺς

factum est, nec Euclide Archonte renovatum, et de aliis agebat, neque ullo modo ad me spectabat. SLUITER.

Προσήκει] Π. σροσήκειν. H. STEPHAN.

Μαχεσάμενοι] Potest ferri. malim tamen in dativo μαχεσαμένοις. REISK.

Εἰ ἢ χρὴ] Π. εἰ χρή. H. STEPHAN. Cui si accedere nolumus, leg. εἴ τι χρή. REISK.

Αὐτοὺς] Malim αὑτοῖς. IDEM.

Ἀδεῶς συκοφαντεῖν] Π. ἀδεῶς τοὺς μὲν συκοφαντεῖν. H. STEPHAN.

Κρίνει] Π. κρινεῖ. IDEM.

Παρασκευάζεσθαι, ἢ φεύγειν] Π. σαρασκευάζεσθαι φεύγειν. IDEM. Bene habet vulgata. tres proponit conditiones. 1. fidere legibus, aut 2. Sycophantas, quadruplatores, sibi conciliare pecuniis, ne molesti nobis sint; aut denique 3. plane fugere patrium solum. REISK.

Οἱ τύραννοι] Pisistratidæ. IDEM.

ὁ δὲ δῆμος ἔφυγε, νικήσαντες μαχόμενοι τοὺς τυράννους ἐπὶ Παλλήνῃ, στρατηγοῦντος Λεωγόρου τοῦ προπάππου τοῦ ἐμοῦ καὶ Χαρίου οὗ ἐκεῖνος τὴν θυγατέρα εἶχεν, ἐξ ἧς ὁ ἡμέτερος ἦν πάππος, κατελθόντες εἰς τὴν πατρίδα τοὺς μὲν ἀπέκτειναν, τῶν δὲ φυγὴν κατέγνωσαν, τοὺς δὲ μένειν ἐν τῇ πόλει ἐάσαντες ἠτίμωσαν. ὕστερον δὲ ἡνίκα βασιλεὺς ἐπεστράτευσεν ἐπὶ τὴν Ἑλλάδα, γνόντες τῶν συμφορῶν τῶν ἐπιουσῶν τὸ μέγεθος καὶ τὴν παρασκευὴν τοῦ βασιλέως, ἔγνωσαν τούς τε φυγόντας καταδέξασθαι καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι καὶ κοινὴν τήν τε σωτηρίαν καὶ τοὺς
54 κινδύνους ποιήσασθαι. πράξαντες δὲ ταῦτα, καὶ ὄντες ἀλλήλοις πίστεις καὶ ὅρκους μεγάλους, ἠξίουν σφᾶς αὐτοὺς [1] προτάξαντες πρὸ τῶν Ἑλλήνων ἁπάντων ἀνταγωνίσασθαι τοῖς βαρβάροις Μιλτιάδου, νομίσαντες τὴν σφετέραν αὐτῶν ἀρετὴν ἱκανὴν εἶναι τῷ πλήθει τῷ ἐκείνων ἀντιτάξασθαι· μαχεσάμενοί τε ἐνίκων, καὶ τήν τε Ἑλλάδα ἠλευθέρωσαν καὶ τὴν πατρίδα ἔσωσαν. ἔργον δὲ τοιοῦτον ἐργασάμενοι οὐκ ἠξίωσέν τινι τῶν πρότερον γενομένων μνησικακῆσαι. τοιγάρτοι διὰ ταῦτα τὴν πόλιν ἀνάστατον ὑπομείναντες, ἱερά τε κατακεκαυμένα, τείχη τε καὶ οἰκίας καταπεπτωκυίας, ἀφορμήν τε οὐδεμίαν ἔχοντες, διὰ τὸ ἀλλήλοις ὁμονοεῖν τὴν ἀρχὴν τῶν Ἑλλήνων κατειργάσαντο καὶ τὴν πόλιν ὑμῖν τοιαύτην καὶ τοσαύτην παρέδοσαν. ὑμεῖς οὖν καὶ αὐτοὶ ὕστερον, κακῶν οὐκ ἐλαττόνων ἢ ἐκείνοις γεγενημένων, ἀγαθοὶ ἐξ ἀγαθῶν ὄντες ἀπέδοτε τὴν ὑπάρχουσαν ἀρετήν· ἠξιώσατε γὰρ τούς τε φεύγοντας καταδέξασθαι καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι. τί οὖν ὑμῖν ὑπόλοιπόν

[1] προτάξαντας

Νικήσαντες μαχόμενοι τοὺς τυράννους ἐπὶ Παλλήνῃ, cæt.] De hisce nostram sententiam jam indicavimus cap. I. Valckenaerius in schedis suis hæc notaverat. "In Margine emendatur Χαρίου, res tectorta: ipsa historia latet. Videtur historia tangi Pisistrati apud Meursium in Παλλήνῃ. — An leg. Παλληνίδι?" Sluiter.

Χαρίου] H. Χαβρίου. H. Stephan. Nihil interesse, dummodo non de illo celebri Chabria, qui Demosthenis pene fuit æqualis, sed de aliquo vetustiore, Pisistratidis æquali, sculpiatur. Reiske.

Προτάξαντας] Grammatica ratio προτάξαντες scribi postulat. Ita enim verba sunt ordinanda: Προτάξαντες σφᾶς αὐτοὺς πρὸ τῶν Ἑλλήνων ἁπάντων ἠξίουν ἀνταγωνίσασθαι. Sluiter.

Τὴν πόλιν ἀνάστατον ὑπομείναντες, cæt.] Verissime ni hæc verba notat Valckenaerius. "Confudere videtur Andocides diversissima, Persica sub Miltiade et Dario et victoriam Marathonicam v. 14. quoque evenere sub Themistocle, Xerxis gesta. Hic urbem incendio delevit (v. 20.), non ille. Nihil magis est manifestum, quam diversa ab Oratore confundi." Idem.

ἐστι τῆς ἐκείνων ἀρετῆς; μὴ μνησικακῆσαι, εἰδότας, ὦ ἄνδρες, ὅτι ἡ πόλις ἐκ πολὺ ἐλάττονος ἀφορμῆς ἐν τῷ ἔμπροσθεν χρόνῳ μεγάλη καὶ εὐδαίμων ἐγένετο· ἃ νῦν αὐτῇ ὑπάρχει, εἰ ἐθέλοιμεν οἱ πολῖται σωφρονεῖν τε καὶ ὁμονοεῖν ἀλλήλοις.

15. 1 ιθ'. Κατηγόρησαν δέ μου καὶ περὶ τῆς ἱκετηρίας, ὡς καταθείην ἐγὼ ἐν τῷ Ἐλευσινίῳ· νόμος δὲ ἦν πάτριος, ὃς ἂν θῇ ἱκετηρίαν μυστηρίοις, τεθνάναι. καὶ οὕτως εἰσὶ τολμηροὶ ὥςθ' ἃ αὐτοὶ κατεσκεύασαν, οὐκ ἀρκεῖ αὐτοῖς ὅτι οὐ 55 κατέσχον ἃ ἐπεβούλευσαν, ἀλλὰ καὶ κατηγορίαν ἐμοῦ ποιοῦνται ὡς ἀδικοῦντος. ἐπειδὴ γὰρ ἤλθομεν Ἐλευσινόθεν καὶ ἡ ἔνδειξις ἐγεγένητο, προσῄει ὁ βασιλεὺς περὶ τῶν [1] γεγενημένων Ἐλευσῖνι κατὰ τὴν τελετὴν, ὥςπερ ἔθος ἐστὶν, οἱ δὲ πρυτάνεις προσάξειν ἔφασαν αὐτὸν πρὸς τὴν βουλὴν, ἀπαγγεῖλαί τ' ἐκέλευον ἐμοί τε καὶ Κηφισίῳ παρεῖναι εἰς τὸ Ἐλευσίνιον· ἡ γὰρ βουλὴ ἐκεῖ καθεδεῖσθαι ἔμελλε κατὰ τὸν Σόλωνος νόμον, ὃς κελεύει τῇ ὑστεραίᾳ τῶν μυστηρίων ἕδραν ποιεῖν ἐν τῷ Ἐλευσινίῳ. καὶ παρῆμεν κατὰ τὰ προειρημένα. καὶ ἡ βουλὴ ἐπειδὴ ἦν πλήρης, ἀναστὰς Καλλίας ὁ Ἱππονίκου, τὴν σκευὴν ἔχων, λέγει ὅτι 56

[1] γεγενημένων ἐν Ἐλευσῖνι

Νόμος δὲ ἦν πάτριος] Videtur id ideo fuisse institutum, ut nemo auderet eo tempore quicquam petere, quo non liceret petita negare, quo ne esset, qui illa petendi licentia et petita impetrandi certitudine abuteretur ad ea petendum, quæ aut plane non possent concedi, aut maxime cum damno Reip. concederentur. Ideo autem nefas habebatur, per dies sacrorum Cereris et Proserpinæ petita denegare, quia pudori atque dedecori duceretur duabus esse, si negarent iis diebus petita, qui cohonestandæ ipsarum majestati essent consecrati, et quibus eas proinde mites atque munificas erga omnes conveniret esse. Reisk.

Ἱκετηρίαν] Petitus in LL. Att. l. i. tit. i. §. 18. vertit *libellum supplicem*, quocum facit Meursius Eleusin. c. 31.: e contra A. M. Salvin, C. A. Duker, et P. Wesseling *oleæ ramum vittis circumdatum*, quem supplices præferebant, intelligunt; atque ita quoque ipsemet Petitus in LL. Att. l. iv. tit. ix. §. 22. vocem exponit.

Ἃ αὐτοὶ κατεσκεύασαν] Miror tantam librariorum incuriam in Codicibus Andocidis describendis, qui verbis sæpe male disjunctis, aut alieno loco collocatis, sententiam misere vellicarint. Quod et hic iis accidisse credo, cum verba, ἃ αὐτοὶ κατεσκεύασαν, male a suo loco, qui videtur esse post ἀδικοῦντος, v. 11. sint divulsa, in alienum prorsus intrusa. Quisque, credo, mecum leget: ἅστ' οὐκ ἀρκεῖ αὐτοῖς, ὅτι οὐ κατέσχον ἃ ἐπεβούλευσαν, ἀλλὰ καὶ κατηγορίαν ἐμοῦ ποιοῦνται, ὡς ἀδικοῦντος, ἃ αὐτοὶ κατεσκεύασαν: *tam audaces sunt, ut non satis sit illis, male cessisse eorum insidias, sed ut me etiam accusent, quasi ego illud commisissem, quod illi meo malo præparaverant.* Sluiter.

Προσῄει] Scil. πρὸς τοὺς πρυτάνεις, ἀναφέρων πρὸς αὐτοὺς περὶ —. Reisk.

Τὴν σκευὴν] Quænam fuit hæc σκευὴ, et habitus, quem habuit Callias Hipponici? Procul dubio vestis sacra τοῦ δᾳδούχου, id est, ejus qui facem præferebat mysteriis Cereris. fuit enim id sacerdotium in Calliæ familia πατροπαράδοτον. Jam a primo illo Callia, qui Laccoplutus ob divitias dicebatur, et δᾳδοῦχος etiam ex officio vocabatur, ut videre est apud Plutarch. in

ἱκετηρία κεῖται ἐπὶ τοῦ βωμοῦ, καὶ ἔδειξεν αὐτοῖς. [1] κἀθ' ὁ κήρυξ ἐκήρυττε τίς τὴν ἱκετηρίαν καταθείη, καὶ οὐδεὶς

[1] Desunt κἀθ' ὁ κήρυξ ἐκήρυττε.

Aristide et apud Scholiasten Aristophanis ad Nubes, cujus verba hic apponam, quia ad rem maxime faciunt: Καλλίας δὲ ὁ δᾳδοῦχος, πρεσβεύσας ἐν τῇ ἱερᾷ στολῇ κατὰ Πέρσῶν ἐν Μαραθῶνι, καὶ ἀριστεύσας κατὰ Σαρδέων, καὶ τρίτον Ὀλύμπια νικήσας ἅρμασι τὸν υἱὸν Ἱππόνικον ἐπόμπευσε. quam vestem scholiastes appellat ἱερὰν στολήν, Andocides hoc loco alio nomine σεμνὴν vocavit. PALMER.

Καὶ ἔδειξεν αὐτοῖς τίς τὴν ἱκετηρίαν] Duplex hic est via emendandi. aut 1. καὶ ἔδειξεν αὐτοῖς (scil. κειμένην ἐπὶ τοῦ βωμοῦ τὴν ἱκετηρίαν) καὶ ἠρώτα τίς τὴν ἱκετηρίαν καταθείη, monstrabatque iis (senatoribus puta) jacentem in ara ramum supplicatorium, et interrogabat, quis eum deposuisset. aut 2. καὶ ἔδοξεν αὐτοῖς ἐπερωτᾶν τίς τὴν ἱκ. καταθείη. et visum ipsis fuit interrogare, quis ramum deposuisset. REISK.

Καὶ ἔδειξεν — μαρτύρησεν, Εὔκλεις] Si hæc verba non melius intellexerit Eucles, quam nos intelligimus, ex boni viri officio testimonium dicere non potuit. Priora mihi satis probabiliter a Reiskio emendata visa sunt: in seqq. verba quædam excidisse putavi, ita fortasse restituenda, ἐπεξελθὼν Εὐκλῆς οὗτος πάλιν ταὐτὰ ἠρώτα, quæ omiserit librarius, deceptus sequentibus — πάλιν αὐτὸν πρῶτα. Luzacio ita locus videtur constituendus: Καὶ ἔδοξεν ἀνακρίνειν, τίς τὴν ἱκετηρίαν καταθείη· καὶ οὐδεὶς ὑπήκουεν. ἡμεῖς δὲ παρίσταμεν, καὶ οὗτος ἡμᾶς ἠρώτα· ἐπειδὴ δὲ οὐδεὶς ὑπήκουεν, καὶ ᾤχετο ἰόντων, ἐπεξῆλθεν Εὐκλῆς οὗτος· καὶ μοι πάλιν αὐτόν. *Et postquam dixisset Callias, visum est senatui, quæstionem habere, quis ramum deposuisset. Nemo autem ad hanc quæstionem respondit. Nos vero citati aderamus. Itaque et nos Callias interrogavit. Cum autem nemo responsione sua factum agnovisset, ipse vero Callias in senatum rediisset, exiit inde Eucles.* Quam emendationem veri habere speciem, nemo, opinor, diffitebitur. Cæterum illa ἱκετηρία erat ramus oleæ lana obvolutus, sive, ut Æschyli verbis utar, Eumenid. v. 43.

——Ἐλαίας ὑψιγέντος κλάδος
Λίπει μεγίστῳ σωφρόνως ἱστημμένος
Ἀργῆτι μαλλῷ. —

idemque Supplic. v. 345. has ἱκετηρίας vocat λευκοστρεφεῖς πεσθρίωτους κλάδους· et similiter hoc vocabulum exponitur ab Harpocratione et Suida in v. Scholiasta Sophoclis ad Œd. Tyr. v. 3. Euripidis ad Orestem v. 583. Supplices his ramis usos fuisse, res est satis nota: iisque genus, manus, mentumque tangebant ejus, quem orabant. Vid. Euripidem Iphig. Aul. v. 1216. Heracl. v. 227. et Scholiasten ad Androm. v. 895. Item in aris ramos deponi solitos, liquet ex Æschyli Suppl. et Sophoclis ll. citt. Euripidis Suppl. v. 124. eosque, re non impetrata abeuntes, in aris relinquebant. Vid. ibid. v. 258. — Apud Dionysium Halicarn. l. I. p. 16. v. 9. Pelasgi, in pacis ac deditionis signum, Aboriginum exercitui obviam eunt inermes, ἱκετηρίας προτείνοντες. Quin et legati, suppliciter petendæ rei gratia ad populum regemve quempiam, sive ad victorem, venientes, hujusmodi ramis erant instructi; veluti Thebanorum ad Arcades legati apud Dinarchum in Demosth. p. 92. v. 28. Jugurthæ ad Metellum apud Sallustium B. Jug. cap. 46. Æneas apud Virgilium Æn. l. VII. v. 154. Oratores centum ad Latinum mittit *ramis velatos Palladis omnes*, ad q. l. vid. Heynius. Conf. l. XI. v. 101. Poetis illi olivæ rami sæpius στέμματα, στέφη, κλάδοι ἱκτήριοι, et similiter audiunt. Jamque apud Homerum Il. A. v. 14. Chryses in castra Græcorum venit:

Στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος.

Sallustio l. c. *supplices* dicuntur, ubi conf. Cortii nota. Verum non tantum his in causis usus ille valuit, sed etiam Atheais, qui senatui aut populo supplicarentur, sive orarent aliquid, sive deprecarentur, ἱκετηρίας manibus tenebant, aut in ara deponebant. Æschines in Timarch. p. 14. v. 41. ed. Steph. Τῶν πρεσβύτου ἱκετηρίαν θέντος εἰς τὴν βουλὴν ὑπὲρ τοῦ μισθῶν de Falsa Legat. p. 30. v. 11. ὑπὲρ δὲ τούτων ἱκετηρίας θέντες ἐν τῷ δήμῳ, ἐδέοντο ὑμῶν. — Demosthenes pro Cor. p. 262. 12. ed. R. οὐκ ἱκετηρίαν ἔδωκε τριήραρχος οὐδεὶς πώποθ' ὡς ἀδικούμενος παρ' ὑμῖν in Timocrat. p. 703. 23. ὡς ἴθεσαν τὴν ἱκετηρίαν, ὧν ἓν τὰ χρήματα, ἄνδρωποι· in Macart. p. 1078. 25. νομίζετε δὲ παῖδα τοῦτον, ὦ ἄνδρες δικασταί, ἱκετηρίαν ὑμῖν πρεπίσθαι παρὰ τῶν τετελευτηκότων (ita recte ed. Reisk.) et lepide suo more Aristophanes in Pluto v. 382.

Ὁρῶ τιν', ἰοὺ τοῦ βήματος καθεδούμενον,
Ἱκετηρίαν ἔχοντα, μετὰ τῶν παιδίων
Καὶ τῆς γυναικός. —

et hoc ipso Andocides loco Callian ad Se-

ὑπήκουεν. ἡμεῖς δὲ παρέστημεν, καὶ οὗτος ἡμᾶς ἑώρα. ἐπειδὴ δὲ οὐδεὶς ὑπήκουεν καὶ ᾤχετο εἰσιὼν, ἐπεξελθὼν Εὐκλῆς οὑτοσὶ — καί μοι κάλει αὐτόν. πρῶτα μὲν οὖν ταῦτα εἰ ἀληθῆ λέγω, μαρτύρησον, Εὔκλεις.

ΜΑΡΤΥΡΙΑ.

ὡς μὲν ἀληθῆ λέγω, μεμαρτύρηται· πολὺ δέ μοι δοκεῖ τὸ ἐναντίον εἶναι, ἢ οἱ κατήγοροι εἶπον. ἔλεξαν γὰρ, εἰ μέμνη- 57
σθε, ὅτι [1] αὐτώ με τὼ θεὼ περιαγάγοιεν ὥστε θεῖναι τὴν ἱκετηρίαν μὴ εἰδότα τὸν νόμον, ἵνα [2] δῶ δίκην. ἐγὼ δὲ, ὦ ἄνδρες, εἰ ὡς μάλιστα ἀληθῆ λέγουσιν οἱ κατήγοροι, ὑπ' αὐτοῖν μὲν φημὶ τοῖν θεοῖν σεσῶσθαι. εἰ γὰρ ἔθηκα μὲν τὴν ἱκετηρίαν, ὑπήκουσα δὲ μὴ, ἄλλο τι ἢ αὐτὸς μὲν αὑτὸν ἀπώλλυον τιθεὶς τὴν ἱκετηρίαν, ἐσωζόμην δὲ τῇ τύχῃ διὰ τὸ μὴ ὑπακοῦσαι, δῆλον ὅτι διὰ τὼ θεώ; εἰ γὰρ [3] ἐβουλέσθην με ἀπολλύναι τὼ θεὼ, ἐχρῆν δήπου καὶ μὴ θέντα με τὴν ἱκετηρίαν ὁμολογῆσαι. ἀλλ' οὔτε ὑπήκουσα οὔτ' ἔθηκα. ἐπειδὴ δ' ἔλεγε τῇ βουλῇ Εὐκλῆς ὅτι οὐδεὶς [4] ὑπακούοι, πάλιν ὁ Καλλίας στὰς ἔλεγεν ὅτι εἴη νόμος πάτριος, εἴ τις ἱκετηρίαν θείη ἐν τῷ Ἐλευσινίῳ, ἄκριτον ἀποθανεῖν· καὶ ὁ πατήρ ποτ' αὐτοῦ Ἱππόνικος ἐξηγήσατο ταῦτα Ἀθηναίοις· ἀκούσειε δὲ ὅτι ἐγὼ θείην τὴν ἱκετηρίαν. ἐντεῦθεν ἀναπηδᾷ Κέφαλος οὑτοσὶ καὶ λέγει· Ὦ Καλλία, πάντων ἀνθρώπων ἀνοσιώτατε, πρῶτον μὲν ἐξηγῇ κηρύ-

[1] αὐτὼ μὲν [2] δῷ [3] ἐβουληθήτην με ἀπολεῖν καὶ τὼ [4] ὑπακούει

natum retulisse, ὅτι ἱκετηρία κεῖται ἐπὶ τοῦ βωμοῦ, in templo Cereris Eleusiniæ, ubi tunc senatus habebatur. Conf. Cœlius Rhodiginus Ant. Lect. l. xiii. c. 19. col. 650. D. Sluiter.

Ἡμεῖς] Ego, Andocides, cum advocatis meis, nec non Cephisius, adversarius meus, cum advocatis suis. tum quoque legendum videtur ἡμεῖς δ' ἔξω [id est, extra curiam] παρέστημεν. Reisk.

Οὗτος] Uter, Callias, an Cephisius? arbitror, hic potius. Idem.

Ὤχετο] Callias puta, a nobis discessit, extra curiam stantibus, et intro ad senatores in curia considentes rediit. hoc vult verbum εἰσιών. Idem.

Ἐπεξελθὼν] Post Calliam cum e curia ad nos exisset Eucles. qui nescio præco an quicunque tandem fuit. Idem.

Εὐκλῆς] Apodosis hujus nominis est versu 17. ἐπειδὴ δ' ἔλεγε τῇ βουλῇ Εὐκλῆς. Sed videtur potius aliquod verbum h. l. deesse. Idem.

Αὐτὼ μὲν] Imo vero αὐτώ με. Idem.

Ὅτι αὐτὼ μὲν τὼ θεὼ περιαγάγοιεν] Probabilis est Valckenaerii conjectura: ὅτι αὐτώ με τὼ θεὼ ἐπαγάγοιεν. *ipsas me deas induxisse, ut ramum deponerem, quo facto pœnas darem.* Sluiter.

Δῷ] Tolle Iota subscriptum, ut sit prima persona. Reisk.

Ὑπ' αὐτοῖν μέν φημι τοῖν θεοῖν] Malim ὑπ' αὐταῖν μέ φημι ταῖν θεαῖν (an θεοῖν, nam hoc quidem perinde est). Idem.

Κέφαλος] Advocatus Andocidis, ut ex orationis fine constat. Idem.

Κηρύκων] Schedæ Scaligeri κηρυκτων. quod nescio quid sibi velit. F. κηρύκων

τὴν ἱκετηρίαν, ὡς ἐμὲ μὲν [1] ἀποκτενῶν ἄκριτον ἢ [2] ἐξελῶν, αὐτὸς δὲ [3] πείσας Λέαγρον χρήμασι συνοικήσων τῇ Ἐπιλύκου θυγατρί. ἐπειδὴ [4] δ' οὐδ' ὡς ἄνευ ἀγῶνος ἑώρα ἐσόμενα τὰ πράγματα, τότε δὴ προσιὼν Λυσίστρατον, [5] Ἡγεμόνα, Ἐπιχάρην, ὁρῶν φίλους ὄντας ἐμοὶ [6] καὶ χρωμένους, εἰς
61 τοῦτο βδελυρίας ἦλθε καὶ παρανομίας, ὥστ' ἔλεγε πρὸς τούτους ὡς, εἰ ἔτι καὶ νῦν βουλοίμην ἀποστῆναι τῆς Ἐπιλύκου θυγατρὸς, ἕτοιμος εἴη παύσασθαί με κακῶς ποιῶν, ἀπαλλάξαι δὲ Κηφισίαν, δίκην δ' ἐν τοῖς φίλοις δοῦναί [7] μοι τῶν πεποιημένων. εἶπον αὐτῷ καὶ κατηγορεῖν καὶ παρασκευάζειν ἄλλους· εἰ δ' ἐγὼ αὐτὸν [8] ἀποφεύξομαι καὶ

[1] ἀποκτανὼν [2] ἐξελὰν [3] πείσων [4] δ' οὔτως ἑώρα ἄνευ ἀγῶνος
[5] ἡγεμόνα, ἐπιχάρη [6] Deest καί. [7] μου [8] ἀποφθίγξομαι

Πείσων] Quod dudum ante conjeceram, πείσας, id reperio nunc quoque in schedis Scaligeri. Constructio est: *συνοικήσων τῇ Ἐπιλύκου* (nisi is potius Epilytus est) *θυγατρὶ, πείσας* (id est, *μετὰ τὸ πεῖσαι*) *Λέαγρον*. IDEM.

Αὐτὸς δὲ πείσων Λέαγρον χρήμασι, συνοικήσων τῇ Ἐπιλύκου θυγατρὶ] Non tantum πείσας pro πείσων cum Scaligero et Reiskio emendat Valckenaerius; sed præterea legit ἐξελῶν, quod est futurum verbi ἐξελάω vel ἐξελαύνω. In M. Ald. pro *συνοικήσων* scriptum inveni *συνοικήσειν*, quod tamen Virorum Doctorum, quos dixi, emendatione deterius censeo. SLUITER.

Οὕτως] F. Οὗτος. TAYLOR. Aut οὔ πως leg. videtur, aut οὐχ οὕτως. [F. ἴσως δ' οὐδ' *οὕτως. ne sic quidem.* In Cur. poster. ad Andoc.] REISK. Dedi cum Bekkero οὐδ' ὥς. vid. Xenoph. Cyr. l. iv. c. 2. §. 40. Anab. l. i. c. 8. §. 21. et l. iii. c. 2. §. 23.

Λυσίστρατον ἡγεμόνα, ἐπιχάρη] Leg. A., Ἡγεμόνα, Ἐπιχάρη. et dele puncti notam post χρωμένους. de Epichare vid. p. 12. 39. ed. Steph. TAYLOR. Videtur leg. Λυσίστρατον, Ἡγέμονα, Ἐπιχάρη. Sunt enim nomina propria. REISK.

Τότε δὴ προσιὼν Λυσίστρατον, ἡγεμόνα, ἐπιχάρη, ὁρῶν φίλους ὄντας ἐμοὶ χρωμένους cæt.] Nomina propria hæc esse, non tantum viderat Valckenaerius, sed et exemplis ea confirmarat. Verba ejus hæc sunt: "Siccine unum Lysistratum nominasset Andocides? Quomodo igitur φίλους ὄντας: quid ille Lysistratus ἡγεμών; quid hic ἐπιχάρη? Duo hic latent nomina; corrigo: προσιὼν Λυσίστρατον, Ἡγέμονα, Ἐπιχάρη, ὁρῶν φίλους ὄντας ἐμοί τε χρωμένους. In ἐπιχάρη forte latet aliud nomen: supra pessimus nebulo accusator Andocidis dicitur Ἐπιχάρης. p. 12. f. Vid. Demosthenem p. 927. 21. ed. R., Harpocrationem in v. et ibi Valesium.— An Ἐπιχάρη?— In Demosthene p. 1342. pen. (alibi idem notat) est Ἐπιχάρης ὁ πάππος ὁ ἐμὸς Ὀλυμπιάσι νικήσας στάδιον.—Nomen proprium Ἡγήμων alibi etiam occurrit. Vid. Harpocrationem in v., Demosthenem p. 320. pen. p. 784. 16. (in argumento p. 768. 91. legitur ἡγέμονα, non ut nomen proprium, de eadem tamen re.) Vid. et Demosthenes p. 253. 12. Lysias p. 509. v. 5. Isæus p. 57. v. 12. ubi est Ἡγεμόνα." SLUITER.

Ὁρῶν *φίλους ὄντας ἐμοὶ χρωμένους*] Idem est ac si dixisset: ὁρῶν αὐτοὺς ἐμοὶ χρωμένους διὰ τὸ φίλους ἐμοὶ εἶναι. videns eos me familiariter utentes, utpote mihi amicos. REISK.

Δοῦναί *μου*] Mou cohæret cum φίλους. inter amicos meos. h. e. secundum id quod essent amici mei de se pronuntiaturi; quos credibile sit, magis secundum me, quam secundum se, Calliam, judicaturos esse, ut mihi amicos, non illi. IDEM.

Τῶν πεποιημένων] Scil. ἑαυτῷ κατ' ἐμοῦ. IDEM.

Εἶπον αὐτῷ] Hic deest aliquid, sive δὲ post εἶπον, aut δι' ἃν εἶπον αὐτῷ. Nam post πεποιημένων figendum est punctum, absoluta ibi sententia. IDEM.

Παρασκευάζειν] Subaudi κατηγορεῖν. *efficere ut me accusent*, h. e. subornare accusatores mei. IDEM.

Ἀποφθίγξομαι] Lege Ἀποφείξομαι. IDEM.

Ἀποφθίγξομαι] Valckenaerium dudum ante Reiskium emendasse ἀποφείξομαι, apparet, e nota ejus ad Herodotum l. VI. p. 475. v. 61. A. SLUITER.

γνώσονται Ἀθηναῖοι περὶ ἐμοῦ τὰ [1] δίκαια, ἐγὼ αὐτὸν οἴομαι περὶ τοῦ σώματος τοῦ ἑαυτοῦ ἐν τῷ μέρει κινδυνεύσειν. ἅπερ [2] αὐτὸν οὐ ψεύσομαι, ἐὰν ὑμῖν, ὦ ἄνδρες, δοκῇ. ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

κα'. Ἀλλὰ γὰρ τὸν υἱὸν [3] αὐτοῦ τοῦτον, [4] ᾧ λαχεῖν ἠξίωσε τῆς Ἐπιλύκου θυγατρὸς, σκέψασθε πῶς γέγονεν καὶ πῶς ἐποιήσατ' αὐτόν· ταῦτα γὰρ καὶ ἄξιον ἀκοῦσαι, ὦ ἄνδρες. γαμεῖ μὲν Ἰσχομάχου θυγατέρα· ταύτῃ δὲ συν- 62
οικήσας οὐδ' ἐνιαυτὸν, τὴν μητέρα αὐτῆς ἔλαβε, καὶ συνῴκει ὁ πάντων σχετλιώτατος ἀνθρώπων τῇ μητρὶ καὶ τῇ θυγατρὶ, ἱερεὺς ὢν τῆς μητρὸς καὶ τῆς θυγατρὸς, καὶ εἶχεν ἐν τῇ οἰκίᾳ ἀμφοτέρας. καὶ οὗτος μὲν οὐκ ᾐσχύνθη οὐδ' ἔδεισε τὼ θεώ· ἡ δὲ [5] τοῦ Ἰσχομάχου θυγάτηρ τεθνάναι νομίσασα λυσιτελεῖν ἢ ζῆν ὁρῶσα τὰ γινόμενα, ἀπαγχομένη μεταξὺ κατεκλίθη, καὶ ἐπειδὴ ἀνεβίω, ἀποδράσασα ἐκ τῆς οἰκίας ᾤχετο, καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα. ταύτης δ' αὖ διαπεπλησμένος ἐξέβαλε καὶ ταύτην. ἡ δ' ἔφη κύειν ἐξ αὐτοῦ. καὶ ἐπειδὴ ἔτεκεν υἱὸν, ἔξαρνος ἦν [6] μὴ εἶναι ἐξ [7] αὐτοῦ τὸ παιδίον. λαβόντες δὲ οἱ προσήκοντες τῇ γυναικὶ τὸ παιδίον, [8] ἧκον ἐπὶ τὸν βωμὸν Ἀπατουρίοις,

[1] δίκαια, καὶ ἐγὼ [2] αὐτῷ [3] αὐτοῦ [4] ὃν
[5] Deest τοῦ. [6] μὲν [7] αὐτοῦ [8] ἦγον

Αὐτῷ οὐ ψεύσομαι] Αὐτῷ Dedit Stephanus pro αὐτῶν, quod est in Aldina. Ego potius αὐτὸν inde effecissem. Græci dicunt ψεύδεσθαί τινά τι, pro εἴς τι, vel κατά τι. Reisk.

Γαμεῖ κ. τ. λ.] Ad hanc narrationem de facinore Calliæ et duabus ejus uxoribus, altera matre, filia altera, simile A. Aurii Melini scelus notat Vir Doct. in M. Ald. (quod narrat Cicero pro Cluentio c. 5.) perperam tamen illud in Oppianicum conferens. Sluiter.

Τῆς μητρὸς καὶ τῆς θυγατρὸς] Aut delenda sunt hæc, aut accipienda de Cerere atque Proserpina. Reisk.

Λυσιτελεῖν] Ad λυσιτελεῖν subaudi μᾶλλον, quod omitti solet. Idem.

Ἀπαγχομένη μεταξὺ κατεκλίθη] Inepte dictum, vel scriptum potius a librario: *dum collo laqueum nectebat, in lecto composita est.* Hoc igitur quum viderem, in eam cogitationem incidi, κατεκλίθη corruptum esse ex κατεκωλύθη. Sed cum sequens ἀνεβίω indicet, eam jam revera laqueum expertam et animi deliquium esse passam, magis probo Valckenaerii conjecturam; ἀπαγχομένη μεταξὺ κατεκυλίσθη, eodem fere modo, uti Iscariotes ἀπαγξάμενος (Matth. xxvii. 5.) πρηνὴς ἐγένετο, narrante Petro Apostolo apud Lucam Act. Apost. i. 18. Sluiter.

Μὲν εἶναι] Imo vero μὴ εἶναι. Reisk. Verissimæ Reiskii emendationi, et Valckenaerii et M. Ald. auctoritas accedit. Sluiter.

Ἦγον] Sic correxit Stephanus Aldinæ οἷον. In Scaligeri schedis est ἴον. videtur utique οἷον perperam iteratum esse e δίον, fine vocabuli proximi παιδίον. Sed tum deest aliquid, si et οἷον expellas, et ἦγον. num ἐτίθεσαν, *ponebant*, puerum super ara? Reisk.

Ἦγον ἐπὶ τὸν βωμὸν Ἀπατουρίοις cæt.] Vitiose Aldina οἷον, cujus loco Stephanus sub-

ἔχοντες ἱερεῖων, καὶ ἐκέλευον καταρξασθαι τὸν Καλλίου. ὁ δ' ἠρώτα, τίνος εἴη τὸ παιδίον· ἔλεγον Καλλίου τοῦ Ἱππονίκου. Ἐγώ εἰμι οὗτος. Καὶ ἔστι γε σὸν τὸ παιδίον. λαβόμενος τοῦ ζωμοῦ ὤμοσεν ἢ μὴν μὴ εἶναί [1] οἱ υἱὸν ἄλλον μηδὲ γενέσθαι πώποτε, εἰ μὴ Ἱππόνι- 35
63 κον ἐκ τῆς Γλαύκωκος θυγατρός· ἢ ἐξώλη εἶναι καὶ αὐτὸν καὶ τὴν οἰκίαν, ὥσπερ ἔσται. μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες, ὑστέρῳ πάλιν χρόνῳ τῆς γραὸς τολμηροτάτης γυναικὸς ἀνηρέθη, καὶ κομίζεται αὐτὴν εἰς τὴν οἰκίαν, καὶ τὸν παῖδα ἤδη μέγαν ὄντα εἰσάγει εἰς Κήρυκας, φάσκων εἶναι υἱὸν αὐτοῦ. ἀντεῖπε μὲν Καλλίδης μὴ εἰσδέξασθαι, ἐψηφίσαντο δὲ οἱ Κήρυκες κατὰ τὸν νόμον ὃς [2] ἐστιν αὐτὸς, τὸν 40
πατέρα ὀμόσαντα εἰσάγειν, ἢ μὴν υἱὸν [3] ὄντα ἑαυτοῦ εἰσάγειν. λαβόμενος τοῦ ζωμοῦ ὤμοσεν ἢ μὴν τὸν παῖδα ἑαυτοῦ εἶναι γνήσιον, ἐκ Χρυσιάδος γεγονότα· ὃν ἀπώμοσε. καί μοι τούτων ἁπάντων τοὺς μάρτυρας κάλει.

ΜΑΡΤΥΡΕΣ.

φέρε δὴ τοίνυν, ὦ ἄνδρες, σκεψώμεθα, [4] εἴ πω ποτὲ ἐν τοῖς Ἕλλησι πρᾶγμα τοιοῦτον ἐγένετο, ὅπου γυναῖκά τις γήμας ἐπέγημε τῇ θυγατρὶ τὴν μητέρα καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα· ταύτῃ δὲ συνοικῶν βούλεται τὴν Ἐπιλύκου 17. 1
θυγατέρα λαβεῖν, ἵν' ἐξελάσῃ τὴν τήθην ἡ θυγατριδῆ. ἀλλὰ γὰρ τῷ παιδίῳ αὐτοῦ τί χρὴ τοὔνομα θέσθαι; οἶμαι γὰρ ἔγωγε οὐδένα οὕτως ἀγαθὸν εἶναι λογίζεσθαι, ὁστις ἐξευρήσει τοὔνομα αὐτοῦ. τριῶν γὰρ οὐσῶν γυναικῶν
64 αἷς συνῴκηκὼς ἔσται ὁ πατὴρ αὐτοῦ, τῆς μὲν υἱός ἐστιν, 5
ὡς φησι, τῆς δὲ ἀδελφὸς, τῆς δὲ θεῖος. τίς ἂν εἴη οὗτος; Οἰδίπους, ἢ Αἴγισθος; ἢ τί χρὴ αὐτὸν ὀνομάσαι;

[1] Deest οἱ. [2] ἐστιν, αὐτὸν [3] οὗτος [4] εἴ ποτε

stituit ἦγον. Non deteriorem tamen puto lectionem, quam Vir Doct. in margine notavit, ἴων. Mox, v. 4. conjecturam Reiskianam legentis μὴ εἶναί οἱ υἱὸν ἄλλον, item M. Ald. confirmat. SLUITER.

Ἀπατουρίοις] Vid. Meurs. Græc. Fer. l. i. p. 35.

Εἶναι υἱὸν] Interpone οἱ, sibi. REISK.

Καλλίδης] Imo vero Καλλιάδης. qui videtur princeps Cerycum fuisse. IDEM. Καλλιάδης, et v. 13. ὄντας, prouti Reiskius, emendaverat etiam Valckenaerius. SLUITER.

Ὃς ἐστιν αὐτὸς] Quæ est illa ipsa, scil. lex, i. e. quæ illud ipsum, quod nic, statuit, np. patrem &c.

Υἱὸν ὄντα] Imo vero υἱὸν ὄντας. et sic quoque schedæ Scaligeri. REISK.

Χρυσιάδος] Imo vero Χρυσίδος. Chrysis nomen est fœminisnum, non Chrysias. IDEM.

Ἐξελάσῃ] Sic correxit Stephanus Aldinæ ἐξελάσει. melius utique, quam Scaliger ἐξελάσει. IDEM.

κβ'. Ἀλλὰ γὰρ, ὦ ἄνδρες, βραχύ τι ὑμᾶς ἀναμνῆσαι περὶ Καλλίου βούλομαι. εἰ γὰρ μέμνησθε, ὅτε ἡ πόλις ἦρχε τῶν Ἑλλήνων καὶ εὐδαιμόνει μάλιστα, Ἱππόνικος δὲ ἦν πλουσιώτατος τῶν Ἑλλήνων, τότε μέντοι πάντες ἴστε ὅτι παρὰ τοῖς παιδαρίοις τοῖς μικροτάτοις καὶ τοῖς γυναίοις κλῃδὼν ἐν ἁπάσῃ τῇ πόλει κατέσχεν, ὅτι Ἱππόνικος ἐν τῇ οἰκίᾳ ἀλιτήριον τρέφει, ὃς αὐτοῦ τὴν τράπεζαν ἀνατρέπει. μέμνησθε ταῦτα, ὦ ἄνδρες. πῶς οὖν ἡ φήμη ἡ τότε οὖσα δοκεῖ ὑμῖν ἀποβῆναι; οἰόμενος γὰρ Ἱππόνικος [1] υἱὸν τρέφειν, ἀλιτήριον αὐτῷ ἔτρεφεν, ὃς ἀνατέτροφεν ἐκείνου τὸν πλοῦτον, τὴν σωφροσύνην, τὸν ἄλλον βίον ἅπαντα. οὕτως οὖν χρὴ περὶ τούτου γινώσκειν, ὡς ὄντος Ἱππονίκου ἀλιτηρίου.

κγ'. Ἀλλὰ γὰρ, ὦ ἄνδρες, διὰ τί ποτε τοῖς ἐμοὶ νυνὶ ἐπιτιθεμένοις μετὰ Καλλίου καὶ συμπαρασκευάσασι τὸν ἀγῶνα καὶ χρήματα εἰσενεγκοῦσιν ἐπ' ἐμοὶ τρία μὲν ἔτη ἐπιδημῶν καὶ ἥκων ἐκ Κύπρου οὐκ ἀσεβεῖν ἐδόκουν αὐτοῖς, μυῶν μὲν Ἀδελφὸν, ἔτι δὲ ἄλλους ξένους ἐμαυτοῦ, καὶ εἰσ-

[1] υἱὸν αὐτῷ τρέφειν

Ὃς ἀνατέτροφεν ἐκείνου τὸν πλοῦτον] Tacent hic, quod miror, et Reiskius et Valckenaerius, cum tamen apertissimum sit hujus loci vitium; nam quid, quaeso, est ἀνατρέφειν τὸν πλοῦτον, caet.? Nihil certius est corruptela, remedio nihil facilius: si, una litera mutata, scribamus ἀνατέτροπεν, salvus est locus. Ita modo v. 7. ὃς αὐτοῦ τὴν τράπεζαν ἀνατρέπει. Demosthenes in Aristog. I. p. 778. 28. ed. R. τὰ κοινὰ δίκαια ἀνατρέψειν οἴει: p. 779. 26. τίς δ' ἂν ἄλλος μᾶλλον, ὃ μὴ γένοιτο, πᾶσαν ἀνατρέψειε τὴν πόλιν; Euripides Iphig. Aul. v. 24.

Τότε μὲν τὰ θεῶν οὐκ ὀρθωθέν —
Τ' ἀνέτρεψε βίον.

Eandem emendationem antea se fecisse, indicavit mihi praeceptor optimus Lusacius. Sluiter.

Αὐτοῖς] Delendum videtur, ut inutile post praecedentes tres dativos, aut cum αὐτὸς est mutandum. Sed tum distinctio quoque erit mutanda, ad hunc modum: ἐδόκουν, αὐτὸς μυῶν τὸν ἀδελφὸν, ἔτι δὲ καὶ ἄλλους ξένους. Sed illud prius praefero, scil. αὐτοῖς hic sublatum, et cum αὐτοὶ mutatum, in versum 2. p. 278. defero, collocans pone οὗτοι, ut sit, ἐδόκουν, μυῶν μὲν ἀδελφὸν — λειτουργεῖν οὗτοι αὐτοὶ προὐβάλλοντο. Reiskius.

Ἀδελφὸν] Si frater hic est ipsius Andocidis, necesse est eum interea temporis vivis excessisse, quod tempus intercessit inter custodiam in carcere, cui mandatus fuit Andocides, et inter dictionem hujus causae; quia p. 283. 13. dicit Andocides, se suae gentis adhuc solum superesse. Verum videtur potius hic deesse nomen ejus, cujus fratrem Andocides initiavit, quia e p. 246. 13. constat, Andocidi quum ob Hermarum mutilatorum crimen in custodiam daretur, non fuisse nisi unicam sororem in vivis superstitem. Si nempe voc. μόνη non de solis sororibus, sed etiam de fratribus debet accipi. Nam potest alias ille locus etiam hanc ferre interpretationem. fratres tibi quidem adhuc alii supersunt, sorores autem aliae nullae, praeter hanc. Idem.

Οὐκ ἀσεβεῖν ἐδόκουν αὐτοῖς, μυῶν μὲν ἀδελφὸν, ἔτι δὲ ἄλλους ξένους ἐμαυτοῦ] Pronomen αὐτοῖς delendum esse, minime Reiskio assentior, qui nec ipse ejusmodi Pleonasmorum usum ignorare potuit: αὐτοῖς sanum est, sequentia non item. Nam quomodo Andocides initiare potuit fratrem? quem sibi non esse dicit p. 19. v. 18. ed. Steph. Quomodo, si fratrem habuerit, mox addere potest se initiasse praeterea (ἔτι δὲ) ἄλλους ξένους ἐαυτοῦ? quasi frater Andocidis peregrinus, aut hospitali jure illi conjunctus fuerit. Nomen hospitis cujusdam credo excidisse, qui Delphis habita-

ιὼν εἰς τὸ Ἐλευσίνιον καὶ Θύων, ὥσπερ ἐμαυτὸν ἄξιον νομίζω εἶναι· ἀλλὰ τοὐναντίον λειτουργεῖν οὗτοι προὐβάλλοντο, πρῶτον μὲν γυμνασίαρχον Ἡφαιστείοις, ἔπειτα [1] ἀρχιθεωρὸν εἰς Ἰσθμὸν καὶ Ὀλυμπίαζε, εἶτα δὲ ταμίαν ἐν πόλει τῶν ἱερῶν χρημάτων. νῦν δὲ ἀσεβῶ καὶ ἀδικῶ εἰσιὼν εἰς τὰ ἱερά. ἐγὼ ὑμῖν ἐρῶ διότι οὗτοι ταῦτα νῦν γινώσκουσιν. [2] Ἀγύρριος γὰρ οὑτοσὶ, ὁ καλὸς κἀγαθὸς, [3] ἀρχώνης ἐγένετο τῆς πεντηκοστῆς τρίτον ἔτος, καὶ ἐπρίατο τριάκοντα ταλάντων· μετέσχον δ' αὐτοὶ οὗτοι πάντες οἱ παρασυλλεγέντες ὑπὸ τὴν [4] λεύκην, [τὸ πόσ] οὓς ὑμεῖς ἴστε

[1] ἀρχιθέωρον [2] Ἀργύριος [3] ἄρχων εἷς ἐγένετο [4] λευκὴν τὸ, πόσους ὑμεῖς

ret. Μυῶν μὲν τὸν Δελφὸν, vel, quod magis placebat Lusacio, μυῶν μὲν τὸν ἐκ Δελφῶν — "*Sacrorum initia præbens tum hospiti meo Delphis advenæ, tum aliis, quibuscum mihi hospitalia erant jura.*" Sluiter.

Ἄρχων, εἷς ἐγένετο τῆς πεντηκοστῆς] Intelligo πεντηκοστολόγον, id est, *publicanum*, qui scilicet hoc tributum redemerat a publico, et a singulis exigebat. Semper autem male audierunt tales homines, et probrosum existimatum est id officium, nec injuria in sacris scripturis cum ethnicis et infidelibus conjunguntur. Palmer. Ex ἄρχων εἷς efficio unum vocabulum ἀρχώνης, princeps collegii ejus, quod vectigal quinquagesimæ redemit. Pro Argyrio videtur potius Agyrrhius esse leg. conf. Vales. ad Harpocr. p. 23. 91. 209. Reisk.

Ἀργύριος γὰρ οὑτοσὶ ὁ καλὸς κἀγαθὸς ἄρχων, εἷς ἐγένετο τῆς πεντηκοστῆς] Elegantissimam et verissimam emendationem ἀρχώνης ἐγένετο τῆς πεντηκοστῆς jam ante Reiskium prodidit Valckenaerius Diatr. Eurip. p. 203. C. In Adversariis hæc notaverat: "Meursius pessimum nebulonem Agyrrhium ex hoc uno loco inter incerti temporis Archontas retulit, pag. 190. Sed quid, obsecro, εἷς τῆς πεντηκοστῆς κ. τ. λ. Corrigo verissime: Ἀγύρριος γὰρ οὑτοσὶ, ὁ καλὸς κἀγαθὸς, ἀρχώνης ἐγένετο τῆς Πεντηκοστῆς. Etymologus p. 151. v. 19. Ἀρχώνης, ὁ Ἄρχων ὁπῶς ἐστησοστοῦν. Vid. Alberti ad Hesych. post Gloss. N. T. p. 302. Forte non alibi legitur. Ἡ πεντηκοστὴ est Quinquagesima mercium in Piræeum invectarum, auctore Harpocratione. Vid. ibi Valesium p. 155. Exactores erant οἱ πεντηκοστολόγοι, *de Opnigters, en Collecteurs* [*the Overseers, and Collectors*]. Ἀρχώνης, *de Pagter zelve, dis de pagt heeft* [*the Tenant or Farmer, who rents a Farm*]. vel, quemadmodum Lusacio videtur, *de eerste Pagter, de gen die 't hoofd van de Societeit der Verpagting is* [*the first Tenant or Farmer, who is at the head of the Farming*]. Meursius in Att. Lect. l. V. c. 28. de hoc agit vectigali, ubi et hunc, vitiosum tamen, affert Andocidis locum. Vid. et l. IV. c. 33. p. 245. et l. VI. c. 4. p. 320." — "Cæterum (Lusacii verba refero) celeberrimum est apud Oratores Atticos hoc Quinquagesimæ vectigal, in quo redimendo ac percipiendo spectabantur οἱ πριάμενοι vel οἱ ὠνούμενοι, socii redemtores, quorum caput et princeps, omnium causam suo agens nomine, erat ὁ Ἀρχώνης; tum fidejussores et prædes, οἱ ἐγγυώμενοι, vel οἱ ἐγγυησάμενοι (et hi probabiliter τῶν Ἀρχώνου socii,) tum denique οἱ ἐκλέγοντες, publicani, qui vectigal a mercatoribus et nautis exigebant. Confer Demosthenem p. 713. 4. ed. R. 719. 15. 745. 15. Ulpianum ad Demosth. p. 738. ed. R. Lycurgum p. 150. v. 17." Palmerius, qui h. l. tetigit, fortasse nunquam magis cæcutiit. Sluiter.

Αὐτοὶ] Malim αὐτῷ. Reisk.

Παρασυλλεγέντες ὑπὸ τὴν λεύκην τὸ, πόσους ὑμεῖς] Π. παρασυλλεγέντες εἰς τὸν ὑπὸ τὴν λεύκην τόπον, οὓς ὑμεῖς. H. Stephan. Postremum quidem recte, οὓς puta, cætera minus. Nil aliud quam tolle τόπους, quod e scholio irrepsit. Scripserat aliquis super λεύκην pro annotatione τόπος, ut indicaret, illo vocabulo designari locum aliquem. Id postea in textum fuit ipsum immissum. Lege itaque λεύκην, οὓς ὑμεῖς — Videtur λεύκη locus Athenis fuisse, ubi auctiones vel licitationes haberentur rerum publice venalium, ut vectigalium, sic dictus a populo quadam ingente et umbrosa, sub qua multi convenirent. Reisk.

Παρασυλλεγέντες ὑπὸ τὴν λευκὴν τὸ, πόσους ὑμεῖς ἴστε οἷοι εἰσὶν] Miru est in depravatissimo loco emendando Valckenaerii cum Reiskio consensio; neque hujus tan-

οἷοι εἰσίν· οἳ διὰ τοῦτο ἔμοιγε δοκοῦσι συλλεγῆναι ἐκεῖσε, 66
ἵν' αὐτοῖς ἀμφότερα ᾖ, καὶ μὴ ὑπερβάλλουσι λαβεῖν ἀργύριον καὶ [1] ὀλίγου πραθείσης μετασχεῖν. κερδάναντες δὲ [2] τρία τάλαντα, γνόντες τὸ πρᾶγμα οἷον εἴη, ὡς πολλοῦ ἄξιον, συνέστησαν πάντες, καὶ μεταδόντες τοῖς ἄλλοις ἐωνοῦντο πάλιν τριάκοντα ταλάντων. ἐπεὶ δ' οὐκ ἀντωνεῖτο οὐδείς, παρελθὼν ἐγὼ εἰς τὴν βουλὴν [3] ὑπερέβαλον, ἕως ἐπριάμην ἓξ καὶ τριάκοντα ταλάντων. ἀπελάσας [4] δὲ τούτους καὶ καταστήσας ὑμῖν ἐγγυητὰς ἐξέλεξα τὰ χρήματα καὶ 67
κατέβαλον τῇ πόλει καὶ αὐτὸς οὐκ ἐζημιώθην, ἀλλὰ καὶ βραχέα ἀπεκερδαίνομεν οἱ μετασχόντες· τούτους δ' ἐποίησα τῶν ὑμετέρων μὴ διανείμασθαι ἓξ τάλαντα ἀργυρίου. ἃ οὗτοι γνόντες ἔδοσαν σφίσιν αὐτοῖς λόγον, ὅτι ἄνθρωπος οὐτοσὶ οὔτε αὐτὸς λήψεται τῶν κοινῶν χρημάτων οὔθ' ἡμᾶς ἐάσει, φυλάξει δὲ καὶ ἐμποδὼν ἔσται διανείμασθαι τὰ κοινά· πρὸς δὲ τούτοις, ὃν ἂν [5] ἡμῶν ἀδικοῦντα λάβῃ, εἰσάξει εἰς τὸ πλῆθος τῶν Ἀθηναίων καὶ ἀπολεῖ. δεῖ οὖν τοῦτον ἐκποδὼν [6] ἡμῖν εἶναι καὶ δικαίως καὶ ἀδίκως. ταῦτα μὲν οὖν, ὦ ἄνδρες δικασταί, τούτοις ποιητέα ἦν,

[1] ὀλίγου [2] δύο τάλαντα, γνῶναι [3] ὑπερέβαλλον [4] δὲ] καὶ [5] ὑμῶν [6] ὑμῖν

tum, sed etiam Viri Docti, cujus in margine Aldinæ annotationes sæpius laudavimus; certissimo indicio, vera vidisse omnes. Valckenaerii verba iterum lubet describere. "Audacissima mutatio legitur in margine (Ed. Steph.) corrigo: *ὑπὸ τὴν λεύκην*, οὓς *ὑμεῖς ἴστε οἷοι εἰσίν*. Ad *τὴν λεύκην* adscriptum puto *τέως*, locus sic dictus: suspicor, arborem populum fuisse, quæ spectari poterat ab Andocide, pro senatu verba faciente: monstrat enim illos quasi digito: *αὐτὰ οὗτοι πάντες*. Meursius Att. Lect. l. IV. c. 33. de populo nigra et alba, locis Athenis, de λεύκῃ ex hoc tantum loco, cujus omisit mendosa." In eandem sententiam Vir Doct. in M. Ald. οὓς *ὑμεῖς*) *aliquis declarandi causa addidit τέως*. Sluiter.

Ὀλίγου] Imo vero ὀλίγου scil. ἀργυρίου. πραθείσης redit ad τῆς συνταξοστῆς. Reisk.

Δύο ταλ.] Num ἓξ? v. versu 12. Idem.

Γνῶναι] Malim ἔστι γνῶναι. adeo, ut scirent qualis res esset, et quanti facienda, scil. redemtio quinquagesimæ. Idem.

Κερδάναντες δὲ δύο τάλαντα, γνῶναι τὸ πρᾶγμα, οἷον εἴη, ὡς πολλοῦ ἄξιον, συνίστασαν πάντες] Reiskii conjectura ἓξ a verisimilitudine non abhorret. Pro γνῶναι τὸ πρᾶγμα Valckenarius verissime conjecit γνόντες τε τὸ πρᾶγμα, οἷον εἴη. Quæ sequuntur verba, ὡς πολλοῦ ἄξιον, glossema existimo, quo οἷον εἴη explicare quis voluerit. Sluiter.

Μεταδόντες] scil. τοῦ κέρδους τοῦ ἑαυτοῖς προσγεγενημένου ἐκ τῆς πρατῆρας ὑπῆς. Reisk.

Τοῖς ἄλλοις] τοῖς ἐν τῇ μετὰ ταῦτα πράσει τῆς πεντακοστῆς ἀντωνεῖσθαι καὶ ὑπερβάλλειν βουλομένοις — ἐπὶ τῷ μὴ τοῦτο ποιεῖν, ἀλλ' ἡσυχάζειν καὶ σιγᾶν, καὶ τούτους ἓξ ἁλαχίστου ὠνεῖσθαι. Idem.

Καὶ τούτους] Καὶ loco leg. δέ. Idem.

Οὐκ ἐζημιώθην] Pro οὐ μόνον, οὐκ ἐζημ. Idem.

Ἐμποδὼν ἔσται διανείμασθαι] Idem est ac si dixisset: ἐμποδὼν ὑμῖν ἔσται τοῦ διανείμασθαι, vel πρὸς τὸ διανείμ. Idem.

Ἐκποδὼν ὑμῖν] Τμῖν bene potest habere, si quis unus fingitur hac oratione ad reli-

ὑμεῖν δέ γε ἐναντίον τούτων· τοὺς γὰρ πλείστους εἶναι ἡμῖν ἤθελον ἂν τοιούσδε οἵόσπερ ἐγώ, τούτους δὲ μάλιστα ἀπολωλέναι, εἰ δὲ μή, εἶναι τοὺς μὴ ἐπιτρέψοντας αὐτοῖς, οἷς καὶ προσήκει ἀνδράσιν εἶναι καὶ ἀγαθοῖς καὶ δικαίοις περὶ τὸ πλῆθος τὸ ὑμέτερον, καὶ βουλόμενοι δυνήσονται ἃ ποιεῖν ὑμᾶς. ἐγὼ οὖν ὑμῖν ὑπισχνοῦμαι, ἢ παύσειν τούτους ταῦτα ποιοῦντας καὶ βελτίους παρέξειν, ἢ εἰς ὑμᾶς εἰσαγαγὼν πολλάσειν τοὺς ἀδικοῦντας αὐτῶν.

κδ'. Κατηγόρησαν δέ μου καὶ περὶ τῶν ναυκληρικῶν καὶ περὶ τῆς ἐμπορίας, ὡς ἄρα οἱ θεοὶ διὰ τοῦτό με ἐκ τῶν κινδύνων σώσαιεν, ἵνα ἐλθὼν δεῦρο, ὡς ἔοικεν, ὑπὸ Κηφισίου ἀπολοίμην. ἐγὼ δέ, ὦ Ἀθηναῖοι, οὐκ οἶμαι τοὺς θεοὺς τοιαύτην γνώμην ἔχειν, ὥστ' εἰ ἐνόμιζον ὑπ' ἐμοῦ ἀδικεῖσθαι, λαμβάνοντάς με ἐν τοῖς μεγίστοις κινδύνοις μὴ τιμωρεῖσθαι. τίς γὰρ κίνδυνος μείζων ἀνθρώποις ἢ χειμῶνος [1] ὥρᾳ πλεῖν τὴν θάλατταν; ἐν οἷς ἔχοντες μὲν τὸ σῶμα τοὐμὸν, κρατοῦντες δὲ τοῦ βίου καὶ τῆς οὐσίας τῆς ἐμῆς, εἶτα ἔσωζον. οὐκ ἐξῆν αὐτοῖς ποιῆσαι μηδὲ ταφῆς τὸ σῶμα ἀξιωθῆναι; ἔτι δὲ πολέμου γενομένου καὶ [2] τριήρων ἀεὶ κατὰ θάλατταν οὐσῶν καὶ λῃστῶν, ὑφ' ὧν πολλοὶ ληφθέντες, ἀπολέσαντες τὰ ὄντα, δουλεύοντες τὸν βίον διετέλεσαν· οὗσης δὲ χώρας βαρβάρου, εἰς ἣν πολλοὶ ἤδη ἐκπεσόντες αἰκίαις ταῖς μεγίσταις περιέπεσον, καὶ τὰ σφέτερα αὐτῶν

[1] ὥραν [2] τριηρῶν

quos collegas utens. alias præstet ἡμῖν. IDEM.

Δί γε ἐναντίον] Quum emendassem δή γε τὸ ἐναντίον, quod sententia prorsus requirit, postea Valckenaerii consensu conjecturam meam munitam vidi. SLUITER.

Ἡμῖν ἤθελον] Malim h. l. ὑμῖν. REISK.

Μάλιστα ἀπολωλέναι] Interpono μέν. IDEM.

Ἐγὼ οὖν] Interpone μέν. cui respondet δὲ versu 9. IDEM.

Ἀδικεῖσθαι] F. ἠδικῆσθαι. TAYLOR.

Ἔσωζον. οὐκ —] Locum impeditum et salebrosum favente Critica sic explico: ἔσωζον, ἐξὸν αὐτοῖς κατασπεύσαι μηδὲ τ. τ. σ. ἀ. IDEM.

Οὐκ ἐξῆν —] Modo interrogationis hanc sententiam exhibuit Stephanus, non male. Possis quoque ex οὐκ efficere οὗ καὶ, ubi esset. Scaliger ἐξὸν malebat. quod sic possit accipi, ac si scriptum esset ἐξὸν αὐτοῖς τοῦτο οὐ ποιῆσαι, ἀλλὰ ποιῆσαι τὸ σῶμα μηδὲ ταφῆς ἀξιωθῆναι. Sed vereor, ne dura nimis hæc sit ratio, et nemini probabilis futura. REISK.

Οὐκ ἐξῆν] M. Ald. habet ὅτ' ἐξῆν, cujus eadem vis est atque οὗ ἐξῆν, prout autem legendum esse putavi. Attamen si ita legamus, uti Stephanus volsit, non erit, quod mutationem desideremus. *Nonne licebat iis efficere, ut ne corpus quidem humaretur?* SLUITER.

Αἰκίαις ταῖς μεγίσταις περιέπεσον, καὶ τὰ σφέτερα αὐτῶν σώματα αἰκισθέντα ἀπέβαλον] Non video quid Reiskium moverit, ut repudiaret verissimam Stephani emendationem, et Græcorum consuetudini congruam αἰκισθέντες. Aliud vero, me judice, remansit mendum in αἰκίαις: sic enim bis idem eodem verbo dicit Orator. Quare illius loco scribi malim ἀτυχίαις. SLUITER.

σώματα [1] αἰκισθέντες ἀπέθανον· — εἶτα οἱ μὲν θεοὶ [2] ἐκ τοσούτων κινδύνων ἔσωζόν με, σφῶν δὲ αὐτῶν προὐστήσαντο 69
τιμωρὸν γενέσθαι Κηφίσιον τὸν ψυνηρότατον Ἀθηναίων, ὧν οὗτός φησι πολίτης εἶναι, οὐκ ὢν· ᾧ οὐδ' ὑμῶν τῶν καθημένων οὐδεὶς ἂν ἐπιτρέψειεν οὐδὲν τῶν ἰδίων, εἰδὼς τοῦτον οἷός ἐστιν. ἐγὼ μὲν οὖν, ὦ ἄνδρες, ἡγοῦμαι χρῆναι νομίζειν τοὺς τοιούτους κινδύνους ἀνθρωπίνους, τοὺς δὲ κατὰ θάλατταν θείους. εἴπερ οὖν δεῖ τὰ τῶν θεῶν ὑποπτεύειν, πολὺ ἂν αὐτοὺς οἶμαι ἐγὼ ὀργίζεσθαι καὶ ἀγανακτεῖν, εἰ τοὺς ὑφ' ἑαυτῶν σωζομένους ὑπ' ἄλλων ἀπολλυμένους ὁρῷεν.

κέ. Καὶ μὲν δὴ καὶ τάδε ὑμῖν ἄξιον, ὦ ἄνδρες, ἐνθυμηθῆναι, ὅτι νυνὶ πᾶσι τοῖς Ἕλλησιν ἄνδρες ἄριστοι καὶ εὐβουλότατοι δοκεῖτε γεγενῆσθαι, οὐκ ἐπὶ τιμωρίαν τραπόμενοι τῶν γεγενημένων, ἀλλ' ἐπὶ σωτηρίαν τῆς πόλεως καὶ 70
ὁμόνοιαν τῶν πολιτῶν. συμφοραὶ μὲν γὰρ ἤδη καὶ ἄλλοις πολλοῖς ἐγένοντο οὐκ ἐλάττους ἢ καὶ ἡμῖν· τὸ δὲ τὰς γενομένας διαφορὰς πρὸς ἀλλήλους θέσθαι καλῶς, τοῦτ' εἰκότως ἤδη δοκεῖ ἀνδρῶν ἀγαθῶν καὶ σωφρόνων ἔργον εἶναι. ἐπειδὴ τοίνυν παρὰ πάντων ὁμολογουμένως ταῦθ' ὑμῖν ὑπάρχει, καὶ εἴ τις φίλος ὢν τυγχάνει καὶ εἴ τις ἐχθρὸς, μὴ μεταγνῶτε, μηδὲ βουλεύεσθε τὴν πόλιν ἀποστερῆσαι ταύτης

[1] αἰκισθέντα [2] ἐκ τῶν τοσούτων

Αἰκισθέντα] Π. αἰκισθέντες. H. Stephan. Mihi vulgata haec bona videtur, nisi quod ei addendum suspicer ἐκπιόντες, vel tale quid, postquam spectarunt ipsi suis oculis corpora sua dilaniata. Reisk.

Τοιούτους κινδύνους] A latronibus compilari, a barbaris in servitutem redigi, tormentis subjici, morte affici, a calumniatoribus et delatoribus exagitari. Idem.

Πολὺ] Aut vitiosum est, aut pro σφόδρα debet accipi. Fui aliquando in suspicione docuisse hic aliquid, ut totus locus sic procederet: πολὺ μᾶλλον ἂν αὐτοὺς οἶμαι ἐγὼ ἐργίζεσθαι καὶ ἀγανακτεῖν, εἰ τοὺς ὑφ' ἑαυτῶν σωζομένους ὑπ' ἄλλων ἀπολλυμένους ὁρῷεν, ἢ εἰ τοὺς ὑφ' ἑαυτῶν ἀπολωλεκότας ὑπ' ἄλλων σωζομένους. Id quidem sententia postulet, si πολὺ servetur. Verum non opus est tanta molitione. Sufficiebamus modo πάνυ pro πολὺ, et omnia bene habebant. Idem.

Συμφοραὶ μὲν γὰρ ἤδη —] "Atheniensesne ait Andocides (Leonicii ad me scribentis verba sunt) jam omnibus Graecis sapientissimos videri et optimos, qui, post discordias civiles, nulla vindicta usi, sed unam civium salutem cogitantes, nihil optaverint, nisi animorum concordiam: aliasquidem civitates haud minoribus malis bellisque intestinis quondam vexatas quam Athenas; sed tranquillitatem reducere, iratos animos ad concordiam redigere, rempublicam pacare, iterumque constituere, id demum videri virorum opus esse bonorum et sapientium. Hoc sensu ego ἄλλοις πολλοῖς mutaverim in ἅπασιν. — Συμφοραὶ μὲν γὰρ ἤδη καὶ ἄλλοις πόλεσιν ἐγένοντο, οὐκ ἐλάττους, ἢ καὶ ἡμῖν; nempe τῆς Ἀθηναίων.—Discordiae civiles totius erant Reipublicae, non unius civitatis. Ergo ἄλλοις πολλοῖς hic locum habere non potest, cum sequatur: τὸ δὲ τὰς γενομένας διαφορὰς πρὸς ἀλλήλους θέσθαι καλῶς; τοῦτ' εἰκότως δὴ δοκεῖ ἀνδρῶν ἀγαθῶν καὶ σωφρόνων ἔργον εἶναι." Pro ἤδη enim ex nostra conjectura δὴ scribendum existimavit Vir Clar. Sluiterm.

Βουλεύσθε] P. Συλεύσθε. v. p. 282. 13.

τῆς δόξης, μηδὲ αὐτοὶ δοκεῖν τύχῃ ταῦτα μᾶλλον ἢ γνώμῃ ψηφίσασθαι.

κς'. Δέομαι οὖν ἁπάντων περὶ ἐμοῦ τὴν αὐτὴν γνώμην ἔχειν, ἥπερ καὶ περὶ τῶν ἐμῶν προγόνων, ἵνα καμοὶ ἐγγένηται ἐκείνους μιμήσασθαι, [1] ἀναμνησθέντας αὐτῶν ὅτι ὁμοιοι τοῖς πλείστων καὶ μεγίστων ἀγαθῶν αἰτίοις τῇ πόλει γεγένηνται, πολλῶν ἕνεκεν σφᾶς αὐτοὺς παρέχοντες τοιούτους, μάλιστα δὲ τῆς εἰς ὑμᾶς εὐνοίας, καὶ ὅπως, εἴ ποτέ τις αὐτοῖς ἢ τῶν ἐξ ἐκείνων τινὶ κίνδυνος γένηται ἢ συμφορὰ, σώζοιντο συγγνώμης παρ' ὑμῶν τυγχάνοντες. εἰκότως δ' ἂν αὐτῶν μεμνῆσθε· καὶ γὰρ τῇ πόλει ἁπάσῃ
71 αἱ τῶν ἡμετέρων προγόνων ἀρεταὶ πλείστου ἄξιαι ἐγένοντο. ἐπειδὴ γὰρ, ὦ ἄνδρες, αἱ νῆες διεφθάρησαν, πολλῶν βουλομένων τὴν πόλιν ἀνηκέστοις συμφοραῖς περιβαλεῖν, Λακεδαιμόνιοι ἔγνωσαν ὅμως τότε ἐχθροὶ ὄντες σώζειν τὴν πόλιν διὰ τὰς ἐκείνων τῶν ἀνδρῶν ἀρετὰς, οἳ ὑπῆρξαν τῆς ἐλευθερίας ἁπάσῃ τῇ Ἑλλάδι. ἐπειδὴ τοίνυν καὶ ἡ πόλις ἐσώθη δημοσίᾳ διὰ τὰς τῶν προγόνων τῶν ἡμετέρων ἀρετὰς, ἀξιῶ καμοὶ διὰ τὰς τῶν προγόνων τῶν ἐμῶν ἀρετὰς σωτηρίαν γενέσθαι. καὶ γὰρ αὐτῶν τῶν ἔργων, δι' ἅπερ ἡ πόλις ἐσώθη, οὐκ ἐλάχιστον μέρος οἱ ἐμοὶ πρόγονοι συνεβάλοντο· ὧν ἕνεκα καὶ ἐμοὶ δίκαιον ὑμᾶς μεταδοῦναι τῆς σωτηρίας, ἥσπερ καὶ αὐτοὶ παρὰ τῶν Ἑλλήνων ἐτύχετε.

κζ'. Σκέψασθε τοίνυν καὶ τάδε, ἂν με σώσητε, οἷον ἕξετε πολίτην· ὃς πρῶτον μὲν ἐκ πολλοῦ πλούτου, ὅσον ὑμεῖς ἴστε, οὐ δι' ἐμαυτὸν ἀλλὰ διὰ τὰς τῆς πόλεως συμ-

[1] ἀναμνησθέντες

TAYLOR. Haud me fugit ζουλεύεσθαι interdum pro βούλεσθαι usurpari. malim tamen h. l. βούλεσθε. REISK.

Ἁπάντων] Post ἁπάντων videtur ὑμῶν deesse. IDEM.

Ἀναμνησθέντες] Π. ἀναμνησθέντας. H. STEPHAN. Ut scil. ad ἴσχειν redeat. REISK.

Εἰς ὑμᾶς] Malim εἰς ὑμᾶς, erga nos, qui posteri eorum sumus. IDEM.

Ἡμετέρων] Malim hic, et versu 18. ὑμετέρων legi. Legendum sic esse patet ex opposito καὶ τῶν ἐμῶν versu 19. Ratiocinatur sic: Dignum est virtutis majorum rationem habere, eique pericula posterorum condonare. Lacedaemonii (sic pergit per inductionem confirmare) cum essent vobis hostes infensissimi, pepercerunt tamen urbi, memoria moti rerum praeclare ab illis vestris majoribus pro salute universae Graeciae gestarum. Sic meorum quoque majorum meritis par est a vobis id honoris deferri, ut propter eos hoc me periculo eripiatis. IDEM.

Ἔγνωσαν, ὅμως τότε] Comma pone secundum vocabulum collocem, coheret enim ὅμως sive cum ἔγνωσαν, sive cum σώζειν, non autem cum τότε ὄντες. IDEM.

Ἑλλήνων] F. ἐκείνων. TAYLOR. Verum ita τῶν articulus stare non possit, sed leg. sit παρ' ἐκείνων. REISK.

φορὰς εἰς πενίαν πολλὴν καὶ ἀπορίαν κατέστην· ἔπειτα δὲ καὶ βίον εἰργασάμην ἐκ τοῦ δικαίου, τῇ γνώμῃ καὶ ταῖν 72
χεροῖν ταῖν ἐμαυτοῦ· ἔτι [1] δὲ εἰδότα μὲν οἷόν ἐστι πόλεως τοιαύτης πολίτην εἶναι, εἰδότα δὲ οἷόν ἐστι ξένον εἶναι καὶ
19. 1 μέτοικον ἐν τῇ τῶν πλησίον, ἐπιστάμενον δὲ οἷον τὸ σωφρονεῖν καὶ ὀρθῶς βουλεύεσθαι, ἐπιστάμενον δ' οἷον τὸ ἁμαρτόντα πρᾶξαι κακῶς, πολλοῖς [2] συγγενόμενος καὶ πλείστων πειραθείς, ἀφ' ὧν ἐμοὶ ξενίαι καὶ φιλότητες πρὸς πολλοὺς καὶ βασιλέας καὶ πόλεις καὶ ἄλλους ἰδίᾳ ξένους γεγένηνται, ὧν ἐμὲ σώσαντες μεδέξετε, καὶ ἔστιν ὑμῖν
5 χρῆσθαι τούτοις, ὅπου ἂν ἐν καιρῷ τι ὑμῖν [3] γίνηται. ἔχει δὲ καὶ ὑμῖν, ὦ ἄνδρες, οὕτως· ἐάν με νυνὶ διαφθείρητε, οὐκ ἔστιν ὑμῖν ἔτι λοιπὸς τοῦ γένους τοῦ ἡμετέρου οὐδείς, ἀλλ' οἴχεται πᾶν πρόρριζον. καίτοι οὐκ ὄνειδος ὑμῖν ἐστὶν ἡ Ἀνδοκίδου καὶ Λεωγόρου οἰκία οὖσα· ἀλλὰ πολὺ μᾶλλον τότ' 73
[4]ἦν ὄνειδος, ὅτ' ἐμοῦ φεύγοντος Κλεοφῶν αὐτὴν ὁ λυροποιὸς
10 ᾤκει. οὐ γὰρ ἔστιν, ὅστις πώποτε ὑμῶν παριὼν τὴν οἰκίαν τὴν ἡμετέραν ἀνεμνήσθη ἢ ἰδίᾳ τι ἢ δημοσίᾳ κακὸν παθὼν ὑπ' ἐκείνων, οἳ πλείστας μὲν στρατηγήσαντες στρατηγίας πολλὰ τρόπαια τῶν πολεμίων καὶ κατὰ γῆν καὶ κατὰ

[1] Deest δέ. [2] συγγενόμενον [3] γίνηται [4] ἦν] αὖ

Κατέστην] Unde colligi potest, me vobis esse deditissimum, eoque bonum civem. IDEM.

Ἔτι εἰδότα] Interpono δ'. aptus est hic accusativus e πολίτην p. 282. pen. *qualem me sitis habituri civem, qui — praterea quoque sciam.* IDEM.

Ἐν τῇ τῶν πλησίον] Non unam quamdam urbem designare voluit Orator, et praterea in τῶν πλησίον intelligitur πόλεων, non ἀνδρῶν. Quapropter legendum existimo ἓν τῳ τῶν πλησίον, *in aliqua ex vicinis urbibus.* Bene se de Andocide mereri putavit librarius, qui τῳ in τῇ mutaverit. Sed του et τῳ cum pro τινὸς et τινὶ dicuntur, etiam feminini generis nominibus junguntur. Homerus Il. N. v. 252. Ἥ τιν' ἀγγελίης μετ' ἐμ' ἦλυθες. Euripides Hecuba v. 370. οὔτε τιν' δίκης ἰφ' Θέρσος πας' ἡμῶν. Androm. v. 568. οὔτε τῳ δίκη Κρίναντες. Iphig. Taur. v. 1064. καλόν τι γλῶσσ' ἑτῳ πίστις παρῇ. Vid. et v. 1071. in Ione v. 325.

Ἀδίκημά του γυναικὸς ἐγκύμων ἴσως. SLUITER.

Πειραθείς] Π. πειραθέντα. H. STEPHAN. Amplectendum id utique erit, si nihil desit. Sed videntur nonnulla post καπᾶς deesse. E. c. μετέσχον γὰρ ἀμφοτέρων, utramque enim fortunam expertus sum, πολλοῖς συγγενόμενος (in nominativo) καὶ πλείστων πειραθείς, utpote cum multis congressus. REISK.

Πειραθείς] Iterum sine ratione verisimilem Stephani conjecturam πειραθέντα Reiskius repudiat. Scribendum videtur: πολλοῖς δὲ συγγενόμενος, καὶ πλείστων πειραθέντα. SLUITER.

Ἰδίᾳ ξένους] Distincte duobus vocabulis extulit idem, quod alii uno ἰδιόξενος appellant. REISK.

Ἔστιν ὑμῖν] Π. ἔσται ὑμῖν. H. STEPHAN. Non admodum necesse arbitror esse. REISK.

Οὐκ ἔστιν ὑμῖν ἔτι λοιπὸς —] Vid. dicta modo ad p. 276. 5. IDEM.

Τότ' αὖ ὄνειδος] Pro media voce malim ἦν. IDEM.

θάλατταν ὑμῖν [1] ἀπέδειξαν, πλείστας δὲ ἄλλας ἀρχὰς ἄρξαντες καὶ χρήματα διαχειρίσαντες τὰ ὑμέτερα οὐδὲν [2] [ἂν] πώποτε ὦφλον, οὐδ' ἡμάρτηται οὐδὲν οὔτε ἡμῖν εἰς ὑμᾶς οὔτε ὑμῖν εἰς ἡμᾶς, οἰκία δὲ πασῶν ἀρχαιοτάτη καὶ κοινοτάτη ἀεὶ [3] τῷ δεομένῳ. οὐδ' ἔστιν ὅπου ἐκείνων τις τῶν ἀνδρῶν καταστὰς εἰς ἀγῶνα ἀπῄτησεν ὑμᾶς χάριν τούτων τῶν ἔργων. μὴ τοίνυν, εἰ αὐτοὶ τεθνᾶσι, καὶ περὶ τῶν πεπραγμένων αὐτοῖς ἐπιλάθησθε· ἀλλ' ἀναμνησθέντες τῶν ἔργων νομίσατε τὰ σώματα αὐτῶν ὁρᾶν αἰτουμένων ἐμὲ παρ' ὑμῶν σῶσαι. τίνα γὰρ καὶ ἀναβιβάσομαι δεησόμενον ὑπὲρ ἐμαυτοῦ; τὸν πατέρα; ἀλλὰ τέθνηκεν. [4] ἀλλὰ τοὺς ἀδελφούς; ἀλλ' οὐκ εἰσίν. ἀλλὰ τοὺς παῖδας; ἀλλ' οὔπω γεγένηνται. ὑμεῖς τοίνυν καὶ ἀντὶ πατρὸς ἐμοὶ καὶ ἀντὶ ἀδελφῶν καὶ ἀντὶ παίδων γένεσθε· εἰς ὑμᾶς καταφεύγω
74 καὶ ἀντιβολῶ καὶ ἱκετεύω· ὑμεῖς με παρ' ὑμῶν αὐτῶν αἰτησάμενοι σώσατε, καὶ μὴ βούλεσθε Θετταλοὺς καὶ Ἀνδρίους πολίτας ποιεῖσθαι δι' ἀπορίαν ἀνδρῶν, τοὺς δὲ ὄντας πολίτας ὁμολογουμένως, οἷς προσήκει ἀνδράσιν ἀγαθοῖς εἶναι καὶ

[1] ὑπέδειξαν [2] Absunt unci. [3] τῶν δεομένων [4] Deest ἀλλά.

Ὑπέδειξαν] Cogitari velim de dictione ὑποδεικνύειν τρόπαια, et exempla ejus quæri. alias ἀποδεικνύειν aut ἐπιδεικνύειν usurpatur. Idem.

Οὐδὲν ἂν πώποτε ὦφλον] Insolentius dictum videtur. Forte scribendum οὐδὲν vel οὐδ' ἂν πώποτε ὦφλον. Sluiter.

Οἰκία δὲ πασῶν ἀρχαιοτάτη καὶ κοινοτάτη ἀεὶ τῶν δεομένων] Valckenaerius germanam scripturam hanc esse suspicabatur: οἰκία δὲ πασῶν ἀρχικωτάτη καὶ κοινωνικωτάτη ἀεὶ τῶν δεομένων. Idem.

Καὶ περὶ τῶν] Malim καὶ ὑμεῖς τῶν. Reisk.

Τίνα γὰρ καὶ ἀναβιβάσομαι —] Solitas hic recenset reorum artes, quibus misericordiam populi concitabant; parentum, aut liberorum, aut aliorum etiam cognatorum precibus et lacrymis eripere se e periculis studentes. His igitur omnibus orbatus Andocides solam populi fidem implorat: ὑμεῖς τοίνυν καὶ ἀντὶ πατρὸς ἐμοὶ, καὶ ἀντὶ ἀδελφῶν, καὶ ἀντὶ παίδων γένεσθε, cæt. Digna profecto Tragœdis verba: simillima sunt illa Euripidis in Heraclidis v. 230.

Γενοῦ δὲ τοῖσδε συγγενὴς, γενοῦ φίλος,
Πατὴρ, ἀδελφὸς, δεσπότης.

Idemque in Hecuba v. 280.

Ἥδ' ἀντὶ πολλῶν ἐστί μοι παραψυχὴ,
Πόλις, τιθήνη, βάκτρον, ἡγεμὼν ὁδοῦ.

Plura sunt ejusmodi et apud Tragicos, et apud Oratores, quæ omnia de communi fonte, Homero, fluxisse videntur, qui in divina illa Il. Z. Andromachen Hecteri dicentem inducit, v. 429.

Ἕκτορ, ἀτὰρ σύ μοι ἐσσὶ πατὴρ καὶ πότνια μήτηρ,
Ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης.

Hæc et alia se indigna quum facere nollet Socrates, capitis est damnatus. Romæ Rutilius ob eandem causam in exsilium expulsus. Reprehendunt has lamentationes Socrates apud Platonem in Apologia p. 38. E., P. Rutilius Rufus et M. Cato ap. Cicer. de Orat. l. I. c. 53.; videt suo more Aristophanes in Vesp. v. 530. sqq. et v. 969. sqq. Sluiter.

Οἷς προσήκει] Legitur hic locus iisdem verbis pag. 17. 40. ed. Steph. Reisk.

βουλόμενοι δυνήσονται, τούτους δὲ ἀπόλλυτε. μὴ δῆτα. ἔπειτα καὶ ταῦθ' ὑμῶν δέομαι, εὖ ποιῶν ὑμᾶς ὑφ' ὑμῶν τιμᾶσθαι. ὥστ' ἐμοὶ μὲν πειθόμενοι οὐκ ἀποστερεῖσθε, εἴ τι ἐγὼ δυνήσομαι ὑμᾶς εὖ ποιεῖν· ἐὰν δὲ τοῖς ἐχθροῖς τοῖς ἐμοῖς πεισθῆτε, οὐδ' ἂν ὑστέρῳ χρόνῳ [1] ὑμῖν μεταμελήσῃ, οὐδὲν ἔτι πλέον ποιήσετε. μὴ τοίνυν μήθ' ὑμᾶς αὐτοὺς τῶν ἀπ' ἐμοῦ ἐλπίδων ἀποστερήσητε μήτ' ἐμὲ τῶν εἰς ὑμᾶς. ἀξιῶ δ' ἔγωγε τούτους, οἵτινες ὑμῖν ἀρετῆς ἥδη τῆς μεγίστης εἰς τὸ πλῆθος τὸ ὑμέτερον ἔλεγχον ἔδοσαν, ἀναβάντας ἐνταυθοῖ συμβουλεύειν ὑμῖν ἃ γινώσκουσι περὶ ἐμοῦ. δεῦρο Ἄνυτε, Κέφαλε, ἔτι δὲ καὶ οἱ φυλέται οἱ [2] ἠρημένοι μοι συνδικεῖν, [3] Θράσυλλος καὶ οἱ ἄλλοι.

[1] Deest ὑμῖν. [2] εἰρημένοι [3] Θρασύλλας

Ἀπόλλυτε] Possit quoque ἀπολλύοιτε legi, quod aptum sit e βούλεσθε. IDEM.

Οὐκ ἀποστερεῖσθε —] Nolite ipsi vosmet eo privare bono, si quod ego vobis impertire potero. IDEM.

20 καίως τιμὴν αὐτοῖς τινὰ φέρειν. ἐμοὶ δὲ, ὦ ἄνδρες, καὶ τῷ πρώτῳ [2] τοῦτο εἰπόντι ὀρθῶς δοκεῖ εἰρῆσθαι, ὅτι πάντες ἄνθρωποι γίνονται ἐπὶ [3] τῷ εὖ καὶ κακῶς πράττειν, μεγάλη δὲ δήπου καὶ τὸ ἐξαμαρτεῖν δυσωραξία ἐστί. καὶ εἰσὶν εὐτυχέστατοι μὲν οἱ ἐλάχιστα ἐξαμαρτάνοντες, σωφρονέστατοι δὲ οἳ ἂν τάχιστα μεταγινώσκωσι. καὶ ταῦτα οὐ διακέκριται τοῖς μὲν γίνεσθαι, τοῖς δὲ μή, ἀλλ' ἔστιν ἐν τῷ κοινῷ πᾶσιν ἀνθρώποις καὶ ἐξαμαρτεῖν τι καὶ κακῶς
25 πρᾶξαι. ὧν ἕνεκα, ὦ Ἀθηναῖοι, εἰ ἀνθρωπίνως περὶ ἐμοῦ [4] γινώσκοιτε, εἴητε ἂν ἄνδρες εὐγνωμονέστεροι. οὐ γὰρ 78

[1] ὑμῖν [2] τούτῳ [3] τὸ εὖ πράττειν καὶ, μεγ.
[4] γινώσκοιτε ἂν, εἶτε ἄνδρες εὐδαιμονέστεροι

p. 192. B. οἱ μίγιστον καὶ σαφέστατον ἔλεγχον ἴδοσαν τῆς αὐτῶν ἀρετῆς. "Mihi, inquit Luzacius, nata est suspicio, num locus sanari possit legendo: φοβούμενοι ἔλεγχον διδόναι, ὅτι εἰς ὑμᾶς μὴ ὦ φρονοῦντες ἑτέρους εἰσαγάγωσιν ταύτους ἀνθρώπους· veriti, ne ipsi indicio isto prodant, se, cum vobis male cupiant, alios subornare et clanculum excitare, qui omnem pudorem exsuere soliti, cæt." Verba quæ sequuntur hoc modo emendanda videntur: ἰσχυρὸν δὲ τοῦτο μόνον εὕροι τις ἂν αὐτῶν ἐν τοῖς λόγοις, τὸ τὰς ἐμὰς συμφορὰς ἐπὶ παντὶ ὀνειδίζειν, καὶ ταῦτα ἐν εἰδόσι δήπου κάλλιον ὑμῖν, ὥστε μηδὲν ἂν τούτων δικαίως τιμὴν αὐτοῖς τινὰ φέρειν. Valckenaerius quoque ὑμῖν legit pro ἡμῖν. Mox etiam, in emendandis illis καὶ τῷ πρώτῳ τούτῳ εἰπόντι, plane cum Reiskio consentiens hæc notarat: "Si sic scripsisset Andocides, designasset quempiam præsentem, qui ante ipsum verba fecisset, quod fieri nequit. Designari voluit scriptorem veterem, cujus hoc fuerit dictum. Corrigo: καὶ τῷ πρώτῳ τοῦτο εἰπόντι. *Mihi bene dixisse videtur, qui hoc primus dixerit.*" SLUITER.

Τὰς ἐμας σ.] Malim τὸ τὰς ἐμὰς σ. REISK.

Ἡμῖν] Malim ὑμῖν, vobis. IDEM.

Μηδὲν] Malim μηδὲν' (id est, μηδένα cum apostropho). *ut nemo ipsis horum gratiam ullam habeat.* IDEM.

Τούτῳ] Imo vero τοῦτο. IDEM.

Ἐπὶ τῷ] Π. ἐπὶ τῷ. H. STEPHAN. Ego vero vulgatam præfero. ad prosperam fortunam homines a natura factos esse κακοὺς, h. e. segnes, torpidos, ignavos, inertes, rudes et ineptos, plane ἀφυεῖς. concludit sic: omnes homines ad fortunam adversam a natura facti sunt accommodatiores, quam ad secundam. Sed pars adversæ fortunæ est, errare, labi. Ergo humanum hoc est. oportet itaque vos errori meo ignoscere. REISK.

Γινώσκοιτε ἂν, εἶτε] Post γινώσκοιτε ponendum est comma, et tum deest aut εἶτε aut μᾶλλον. nam ἂν cohæret, non cum γινώσκοιτε, sed cum εἶητε. IDEM.

Ὧν ἕνεκα — εὐδαιμονέστεροι] *Quapropter, Athenienses, si humane de me judicabitis, melius vobiscum agetur.* Hæc etsi explicari possunt, ut a nobis explicata sunt, pene tamen mihi persuadeo scriptum fuisse ab Andocide, εἶητε ἄνδρες εὐγνωμονέστεροι, quod est hac in re valde proprium. εὐγνώμονες sunt, *qui ad æquitatis et humanitatis normam res humanas exigunt.* ἀνθρωπίνως γινώσκειν autem est, *humane et sorti humanæ convenienter judicare ac sententiam ferre.* Idem dixerat p. 248. 8. χρὴ γὰρ, ὦ ἄνδρες, ἀνθρωπίνως περὶ τῶν πραγμάτων λογίζεσθαι, ἐνθυμεῖσθαι δὲ ὅτι ἂν αὐτὸν ὄντα ἐν τῇ συμφορᾷ. *oportet autem humane de rebus judicare, tanquam quemque idem casus contingat,* i. e. homines cum simus, humani nihil a nobis alienum putare debemus. *In Animad. in Salmas. Obs. ad Jus Att. et Rom.* l. i. c. 8. §. 2. HERALDUS.

εἶητε ἄνδρες εὐδαιμονέστεροι] Egregiam

φθόνου μᾶλλον ἢ οἴκτου ἄξιά μοί ἐστι τὰ γεγενημένα· ὃς εἰς τοσοῦτον ἦλθον τῆς ἐμαυτοῦ δυσδαιμονίας, εἴτε χρὴ εἰπεῖν νεότητί τε καὶ ἀνοίᾳ, εἴτε καὶ δυνάμει τῶν πεισάντων με ἐλθεῖν εἰς τοιαύτην συμφορὰν τῶν φρενῶν, ὥςτ' [1] ἀνάγκην μοι γενέσθαι δυοῖν κακοῖν τοῖν μεγίστοιν θάτερον ἑλέσθαι, ἢ μὴ βουληθέντι κατειπεῖν τοὺς ταῦτα ποιήσαντας οὐ περὶ ἐμοῦ [2] μόνου ὀρρωδεῖν, εἴ τι ἔδει παθεῖν, ἀλλὰ καὶ τὸν πατέρα οὐδὲν ἀδικοῦντα σὺν ἐμαυτῷ ἀποκτεῖναι — ὅπερ ἀνάγκη παθεῖν ἦν αὐτῷ, εἰ ἐγὼ μὴ ἐβουλόμην ταῦτα ποιῆσαι —, ἢ κατειπόντι τὰ γεγενημένα [3] αὐτὸν μὲν ἀφέντα μὴ τεθνάναι, τοῦ δὲ ἐμαυτοῦ πατρὸς μὴ φονέα γενέσθαι. τί δ' ἂν οὐ πρό γε τούτου τολμήσειεν ἄνθρωπος ποιῆσαι; ἐγὼ τοίνυν ἐκ τῶν παρόντων εἱλόμην ταῦτα, ἃ ἐμοὶ μὲν λύπας ἐπὶ χρόνον πλεῖστον οἴσειν ἔμελλεν, ὑμῖν δὲ ταχίστην τοῦ παρόντος τότε κακοῦ μετάστασιν. ἀναμνήσθητε δὲ ἐν οἵῳ 79 κινδύνῳ τε καὶ ἀμηχανίᾳ καθέστατε, καὶ ὅτι οὕτω σφόδρα σφᾶς αὐτοὺς [4] ἐπεφόβησθε, ὥςτ' οὐδ' εἰς τὴν ἀγορὰν ἔτι ἐξήειτε, ἕκαστος ὑμῶν οἰόμενος συλληφθήσεσθαι. ταῦτα τοίνυν ὥςτε μὲν γενέσθαι τοιαῦτα, πολλοστὸν δή τι ἐγὼ μέρος τῆς αἰτίας εὑρέθην ἔχων, ὥςτε μέντοι παυθῆναι, ἐγὼ

[1] ἀνάγκη [2] μόνῳ [3] αὐτὸ [4] ἐπεφόβησθον

de hoc loco conjecturam his verbis mecum communicavit Luzacius. "Nescio, quid ad beatitatem Atheniensium conducturum fuerit, humaniter cum Andocide agere: at vero, si humanos errores humaniter condonarent, tum se naturæ ingeniique humani peritos ostenderent ac prudentiores. Dixerat supra *recte ac sapienter monuisse, qui primus dixisset*, cæt. Igitur suspicor voce Xenophontea hic usum Andocidem, εἶντε ἄνδρες δαιμονιώτεροι: *viri eritis rerum humanarum magis callentes.* Voces δαίμων et εὐδαίμων alibi quoque permutatas memini." SLUITER.

Ἀνάγκη] Imo vero ἀνάγκην. REISK.

Ὀρρωδεῖν] Vocem ὀρρωδεῖν ex hoc loco citans Harpocration exponit φοβεῖσθαι. SLUITER.

Αὐτὸ μὲν ἀφέντα] Lego αὐτὸν μὲν (subaudi ἐμέ) ἀφέντα. REISK. Reiskio αὐτὸν legenti assentitur Valckenaerius. SLUITER.

Γενέσθαι] Post γενέσθαι deesse videtur τοὺς δὲ φίλους ἀπολέσαι. me quidem absolutum discedere, salva vita, et a necessitate liberatum homicidii in patre committendum, verumtamen amicos pessumdare. REISK.

Πρό γε τούτου] Prius, quam ut hoc faciat, ut sc. indicio suo amicos pessumdet. IDEM.

Ἐπεφόβησθον] Imo vero ἐπεφόβησθε sec. plur. plusquamperf. passivi, *ita timebatis vosmet ipsos mutuo*, ita formidine mutua inter vos trepidabatis. IDEM.

Ὥςτε μέντοι παῦθῆναι] Pl. γρ. [id est, Aldus dederat] ὥςτε μέντοι παυθῆναι. Ἔστι δὲ καὶ ὀλίγῳ ὕστερον, ταῦτα ληθῆναι ἄλλος. H. STEPHAN. Non semper animus pari modo intentus et vigil et acer est. Sæpe offunditur oculis mentis caligo quædam; qua fit, ut coram posita haud cernamus. Quod hic Stephano evenit. Quam facile erat in παυθῆναι reperire παυθῆναι! quod reposui. REISK.

Ὥςτε μέντοι παῦθῆναι] Et hic eadem, quæ Reiskio, nata fuerat Valckenaerio conjectura, eamque ita confirmarat. "Infra p. 295. 6. legitur: ἀδύνατον ἦν ταῦτα ληθῆναι ἄλλως ἢ τῷ ἐμὲ αἰσχρῶ. Hinc arripuit Stephanus vulgatam. Lectio vetus erat, ὥςτε μέντοι παυθῆναι. Corrige: ὥςτε μέν-

εἷς ὢν μόνος αἴτιος. καὶ ὅμως τό γε δυστυχέστατος εἶναι ἀνθρώπων οὐδαμῇ ἐκφεύγω, ὅτε δὴ [1] προαγομένης μὲν τῆς πόλεως ἐπὶ ταύτας τὰς συμφορὰς οὐδεὶς ἐμοῦ ἤρχετο γίνεσθαι δυσδαιμονέστερος, μεθισταμένης δὲ πάλιν εἰς τὸ ἀσφαλὲς ἁπάντων ἐγὼ ἀθλιώτατος. ὄντων γὰρ κακῶν τοσούτων τῇ πόλει, ἀδύνατον ἦν ταῦτα ἰαθῆναι ἄλλως ἢ τῷ
21. 1 ἐμῷ αἰσχρῷ, ὥςτ' ἐν αὐτῷ ᾧ ἐγὼ κακῶς ἔπραττον, ἐν τούτῳ ὑμᾶς σώζεσθαι. χάριν οὖν εἰκός με, οὐ μῖσος, τῷ δυστυχήματι τούτῳ φέρεσθαι παρ' ὑμῶν.

β'. Καίτοι ἐγὼ τότ' αὐτὸς γνοὺς τὰς ἐμαυτοῦ συμφορὰς, 80
ᾧ τινὶ κακῶν τε καὶ αἰσχρῶν οὐκ οἶδ' εἴ τι ἀπεγένετο, τὰ μὲν παρανοίᾳ τῇ ἐμαυτοῦ, τὰ δ' ἀνάγκῃ τῶν παρόντων πραγμάτων, ἔγνων ἥδιστον εἶναι πράττειν τε τοιαῦτα καὶ διαιτᾶσθαι ἐκεῖ, ὅπου ἥκιστα μέλλοιμι ὀφθήσεσθαι ὑφ' ὑμῶν. ἐπειδὴ δὲ χρόνῳ ὕστερον εἰσῆλθέ μοι, ὥςπερ εἰκὸς, ἐπιθυμία τῆς τε μεθ' ὑμῶν πολιτείας ἐκείνης καὶ διαίτης, ἐξ ἧς δευρὶ μετέστην, ἔγνων λυσιτελεῖν μοι ἢ τοῦ βίου ἀπηλλάχθαι, ἢ τὴν πόλιν ταύτην ἀγαθόν τι τοσοῦτον ἐργάσασθαι, ὥςτε ὑμῶν ἑκόντων εἶναι ποτέ μοι [2] πολιτεύσασθαι μεθ' ὑμῶν. ἐκ δὲ τούτου οὐ πώποτε οὔτε τοῦ σώματος οὔτε τῶν ὄντων ἐμοὶ ἐφεισάμην, ὅπου ἔδει παρακινδυνεύειν·

[1] παραγενομένης

[2] πολιτεύεσθαι

τοι παυθῆναι vel παυσθῆναι. — Respicit τὴν τῶν Ἑρμῶν περικοπήν. De metu, in quo tum fuerint Athenis, ne libertas opprimeretur populi, Nepos in Alcibiade, Thucydides p. 395. v. 65. Andocides p. 62. v. 33. ed. Steph. Reas Andocides accusasse se fatetur, quomodo permotus p. 7. tota et v. 40. &c. p. 8. v. 7. p. 9. v. 36—40. tum vos ἀπηλλάγητε μεγάλων φόβων, καὶ τῶν εἰς ἀλλήλους ὑποψιῶν. Thucydides l. vi. c. 60. de Andocide: persuadetur αὐτόν τε ἄδειαν ποιησάμενον σῶσαι, καὶ τὴν πόλιν τῆς παρούσης ὑποψίας παῦσαι: Andocides p. 8. v. 39. *si dicerem*, τὴν πόλιν ἐκ φόβου καὶ κακῶν τῶν μεγίστων ἀπήλλαττον: p. 9. v. 29. *metum vestrum sustuli.*" Sluiter.

Ἤρχετο γίνεσθαι] Vitiosa hæc si non sunt, mihi quidem sunt obscura. Num οὐδεὶς ἐμοῦ ἐκρίνετο γενέσθαι δυσδαιμονέστερος. aut pro ἤρχετο leg. est ᾔδετο, *canebatur*. Reisk.

Ἤρχετο γίνεσθαι] Reiskio hæc vitiosa consenti non plane assentior, et minus etiam probo medicinam, quam afferre loco voluit, legendo ἐκρίνετο aut ᾔδετο. Mihi potius ποιητικώτερον aut variandi causa dictum videtur, pro ἐγὼ ἠρχόμην γίνεσθαι πάντων δυσδαιμονέστατος: variandi causa, inquam, cum mox addat: ἁπάντων ἐγὼ ἀθλιώτατος. Sluiter.

Ὥςτ' ἐν αὐτῷ ᾧ ἐγὼ κακῶς ἔπραττον, ἐν τούτῳ ὑμᾶς σώζεσθαι] Vocabulum αὐτῷ loco motum est a descriptore, ita restituendum: ἐν ᾧ ἐγὼ κακῶς ἔπραττον, ἐν αὐτῷ τούτῳ ὑμᾶς σώζεσθαι. Idem.

Ἥδιστον] Num κράτιστον, vel βέλτιστον. aut, servato ἥδιστον, addendum erit ὑμῖν. *vobis jucundissimum fore.* Reisk.

Τοιαῦτα] Subandi ex insequentibus οἷα ἔμελλεν ὑφ' ὑμῶν ἥκιστα ὀφθήσεσθαι. Idem.

Ἐπιθυμία τῆς τε] Aut transponendum hoc τε est ante articulum, aut pro τε leg. est τότε. Idem.

Καὶ διαίτης] Interponendum videtur κόρος. ut autem tempore post me subiit, id quod facile est judicatu, et desiderium civilis meæ quondam inter vos conversationis, et tædium commorationis atque vitæ generis ejus, e quo huc transii. Idem.

ἀλλ' αὐτίκα μὲν τότε εἰσήγαγον εἰς στρατιὰν ὑμῶν οὖσαν ἐν Σάμῳ κωπέας, τῶν τετρακοσίων ἤδη τὰ πράγματα ἐν-
81 θάδε κατειληφότων, ὄντος μοι Ἀρχελάου ξένου πατρικοῦ καὶ διδόντος γενέσθαι τε καὶ ἐξάγεσθαι [1] ὁπόσους ἐβουλόμην. τούτους τε εἰσήγαγον τοὺς κωπέας, καὶ παρόν μοι πέντε δραχμῶν τὴν τιμὴν αὐτῶν δέξασθαι, οὐκ ἠθέλησα πράξασθαι πλέον ἢ [2] ὅσου ἐμοὶ κατέστησαν· εἰσήγαγον δὲ σῖτόν τε καὶ χαλκὸν, καὶ οἱ ἄνδρες ἐκεῖνοι ἐκ τούτων παρεσκευασμένοι ἐνίκησαν μετὰ ταῦτα Πελοποννησίους ναυμαχοῦντες, καὶ τὴν πόλιν ταύτην μόνοι ἀνθρώπων ἔσωσαν ἐν τῷ τότε χρόνῳ. εἰ τοίνυν μεγάλων ἀγαθῶν ἄξια ὑμᾶς εἰργάσαντο ἐκεῖνοι, μέρος ἐγὼ οὐκ ἂν ἐλάχιστον δικαίως [3] ταύτης τῆς αἰτίας ἔχοιμι. εἰ γὰρ τοῖς ἀνδράσιν ἐκείνοις τότε τὰ ἐπιτήδεια μὴ εἰσήχθη, οὐ περὶ τοῦ σῶσαι τὰς Ἀθήνας ὁ κίνδυνος ἦν αὐτοῖς μᾶλλον ἢ περὶ τοῦ [4] μηδ' αὐ-
82 τοὺς σωθῆναι. τούτων τοίνυν οὕτως ἐχόντων, οὐκ ὀλίγῳ μοι παρὰ γνώμην εὑρέθη τὰ ἐνταῦθα πράγματα ἔχοντα. κατέπλευσα μὲν γὰρ ὡς ἐπαινεθησόμενος ὑπὸ τῶν ἐνθάδε προθυμίας τε εἵνεκα καὶ ἐπιμελείας τῶν ὑμετέρων πραγμάτων· πυθόμενοι δέ τινές με ἥκοντα τῶν τετρακοσίων ἐζήτουν τε παραχρῆμα, καὶ λαβόντες ἤγαγον εἰς τὴν βουλήν. εὐθὺς δὲ παραστάς μοι Πείσανδρος, Ἄνδρες, ἔφη, βουλευταὶ, ἐγὼ τὸν ἄνδρα τοῦτον ἐνδεικνύω

[1] ὁπόσα [2] ὅσον [3] ταύτης ἀξίας [4] μὴ δι' αὐτοὺς

Κωπέας] Ad v. κωπέας Valckenaerius notat, Herodotum p. 294. v. 21. ubi pauca de iis dederit, Hesychium v. κώπεις· Aristophanem Acharn. v. 551. ibique Scholiasten; Lysistr. v. 423. Demosthenem p. 170. v. 12. ed. R. ubi pro κώπας legendum existimat κωπέας, coll. p. 433. 5. Aristidem t. ii. p. 204. Sluiter.

Τῶν τριακοσίων] Humani quid hic passus est Henricus Stephanus, item versu 20. et p. 297. 4. ut bonam et probam lectionem Aldinæ τετρακοσίων præter rem, et adversa veritate historica, nescio quo mentis oblato errore mutaret. Notarunt hunc lapsum Taylor quoque et Markland ad Lysiam, hic pag. 591. ille Lect. Lys. p. 693. Ego veram lectionem revocavi. Reisk.

Γενέσθαι] Scil. quæcunque vellem. Idem.

Καὶ ἐξάγεσθαι] Videtur καὶ εἰσάγεσθαι deesse. Idem.

Τούτους τε] Post τούτους τε videtur οὖν deesse. Idem.

Ὅσον] Malim ὅσου. Idem.

Ναυμαχοῦντες] Significatur illa victoria navalis, quam Thucydides octavi libri fine describit, illa nempe apud Abydum, qua classis Attica, a Tissapherne adjuta, classem Lacedæmoniorum, cui Mindarus præerat, a Pharnabazo sustentatam, vicit, multas hostium naves cepit, multas suas recuperavit. v. Simson Chronicon ad A. M. 3594. Idem.

Ταύτην μόνοι] Aut mutandum est ταύτην cum οὗτοι, aut utrumque sic est copulandum: ταύτην οὗτοι μόνοι. Idem.

Ταύτης ἀξίας] Interpono τῆς. Idem.

Μὴ δι' αὐτοὺς] Lege μηδ' αὐτούς. ne ipsos quidem. Idem.

ὑμῖν σῖτόν τε εἰς τοὺς πολεμίους εἰσαγαγόντα καὶ κωπέας. καὶ τὸ πρᾶγμα ἤδη πᾶν διηγεῖτο ὡς ἐπέπρακτο. ἐν δὲ τῷ [1] τότε τὰ ἐναντία φρονοῦντες δῆλοι ἦσαν ἤδη οἱ ἐπὶ στρατείας ὄντες τοῖς τετρακοσίοις. κἀγὼ, θόρυβος γὰρ δὴ τοιοῦτος ἐγίνετο τῶν βουλευτῶν, καὶ ἐπειδὴ ἐγίγνωσκον ἀπολούμενος, εὐθὺς προσπηδῶ πρὸς τὴν ἑστίαν καὶ λαμβάνομαι τῶν ἱερῶν. ὅπερ μοι καὶ πλείστου ἄξιον ἐγίνετο ἐν τῷ τότε· εἰς γὰρ τοὺς θεοὺς εἶχον τὰ ὀνείδη οὗτοι, οἵ με μᾶλλον τῶν ἀνθρώπων ἐοίκασι κατελεῆσαι, 83 βουληθέντων τε αὐτῶν ἀποκτεῖναί με, οὗτοι ἦσαν οἱ διασώσαντες. δεσμά τε ὕστερον καὶ κακὰ ὅσα τε καὶ οἷα τῷ σώματι ἠνεσχόμην, μακρὸν ἂν εἴη μοι λέγειν. οὗ δὴ καὶ μάλιστ' ἐμαυτὸν ἀπωλοφυράμην, ὅστις τοῦτο μὲν ἐν ᾧ ἐδόκει ὁ δῆμος κακοῦσθαι, ἐγὼ ἀντὶ τούτου κακὰ εἶχον, τοῦτο δὲ ἐπειδὴ ἐφαίνετο εὖ ὑπ' ἐμοῦ πεπονθὼς, πάλιν αὖ καὶ διὰ τοῦτ' ἐγὼ ἀπολοίμην. ὥστε ὁδόν τε καὶ πόρον μηδαμῇ ἔτι εἶναί μοι εὐθαρσεῖν. [2] ὅποι γὰρ τραποίμην, πάντοθεν κακόν τί μοι ἐφαίνετο ἑτοιμαζόμενον. ἀλλ' ὅμως καὶ ἐκ τούτων τοιούτων ὄντων ἀπαλλαγεὶς [3] οὐκ ἔστιν ὅ τι ἕτερον ἔργον περὶ πλείονος ἐποιούμην ἢ τὴν πόλιν ταύτην ἀγαθόν τι ἐργάσασθαι.

γ'. Ὁρᾷν δὲ [4] χρὴ, ὦ Ἀθηναῖοι, ὅσῳ τὰ τοιαῦτα τῶν ὑπουργημάτων διαφέρει. τοῦτο μὲν [5] γὰρ ὅσοι τῶν πολιτῶν 84 τὰ ὑμέτερα πράγματα διαχειρίζοντες ἀργύριον ὑμῖν ἐκπορίζουσιν, ἄλλο τι ἢ τὰ ὑμέτερα ὑμῖν διδόασι; τοῦτο δὲ ὅσοι

[1] τότε οἱ τὰ [2] ὅπου [3] οὐκέτι ἕτερον περὶ
[4] Deest χρή. [5] Deest γάρ.

Οἱ τὰ ἐναντία] Videtur articulus prior, οἱ, h. l. delendus esse. jam constabat, Atheniensium eos, qui in castris apud Samum essent, diversa a CCCC viris sentire. Reisk.

Καὶ ἐπειδὴ] Καὶ videtur delendum, aut aliquid deesse. Idem.

Εἰς γὰρ —] Locus affectus. Nam εἰς γὰρ τοὺς θεοὺς ἔκειν (aut ἦλθεν) ἂν αὐτοῖς τὰ ὀνείδη. Nam si me abstractum ab ara occidissent, infamiam impietatis erga deos ipsi sibi contraxissent. οὗτοί με — hi (dii puta) me —. Idem.

Βουληθέντων τε] Malim γε, pro γὰρ, nam, cum illi CCCC viri me vellent occidere —. Idem.

Κακοῦσθαι] Summum enim in discrimen atque incredibilem perturbationem conjecerat rempublicam scelus hermarum mutilatorum. Idem.

Ἀπολοίμην] In optativo. quia in discrimen exitii adducebatur, in quo pæne perisset. Idem.

Εὐθαρσεῖν] In Aldina est ἐνθαρσεῖν. quæ lectio possit etiam probari. Idem.

Ὅπου] Leg. ὅποι. quoquoversus. Idem.

Ὁρᾷν] Π. ἐρᾶτε. H. Stephan. Ego malim ὁρᾷν servare, sed sic, ut post ὁρᾷν δὲ addatur aut πάρεστιν, aut ἄξιον. Idem.

Τὰ τοιαῦτα] Talia officia atque ministeria, qualia ego vobis præstiti. Idem.

Διαφέρει] Præstent aliis ministeriis, quæ vulgo vobis, non gratuita, sed pro mercede a vobis dands, vobis præstantur. Idem.

στρατηγοὶ γενόμενοι καλόν τι τὴν πόλιν κατεργάζονται, τί ἄλλο ἢ μετὰ [1] τῆς τῶν ὑμετέρων σωμάτων ταλαιπωρίας τε 22. 1
καὶ κινδύνων, καὶ ἔτι τῶν κοινῶν χρημάτων [2] δαπάνης, ποιοῦσιν ὑμᾶς εἴ τι τυγχάνουσιν ἀγαθόν; ἐν ᾧ καὶ ἄν τι ἐξαμάρτωσιν, οὐκ αὐτοὶ τῆς σφετέρας [3] αὐτῶν ἁμαρτίας δίκην διδόασιν, ἀλλ' ὑμεῖς ὑπὲρ τῶν ἐκείνοις ἡμαρτημένων. ἀλλ' ὅμως οὗτοι στεφανοῦνταί γε ὑφ' ὑμῶν καὶ ἀνακηρύττονται ὡς ὄντες ἄνδρες ἀγαθοί. καὶ οὐκ ἐρῶ ὡς οὐ δικαίως· μεγάλη γάρ ἐστιν ἀρετὴ, ὅστις τὴν ἑαυτοῦ πόλιν ὁτῳοῦν δύναται τρόπῳ ἀγαθόν τι [4] ἐργάζεσθαι. ἀλλ' οὖν γινώσκειν γε χρὴ, ὅτι ἐκεῖνος ἂν εἴη [5] πολὺ πλείστου ἄξιος ἀνὴρ, ὅστις τοῖς ἑαυτοῦ παρακινδυνεύων χρήμασί τε καὶ σώματι τολμήσει ἀγαθόν τι ποιεῖν τοὺς ἑαυτοῦ πολίτας.

δ'. Ἐμοὶ τοίνυν τὰ μὲν ἤδη εἰς ὑμᾶς πεπραγμένα σχεδόν τι ἅπαντες ἂν εἰδείητε, τὰ δὲ μέλλοντά τε καὶ ἤδη πρατ- 10
τόμενα ἄνδρες ὑμῶν πεντακόσιοι ἐν ἀπορρήτῳ ἴσασιν, ἡ
85 Βουλή· οὓς πολλῷ δήπου εἰκὸς ἧττον ἄν τι ἐξαμαρτεῖν, ἢ εἰ ὑμᾶς δέοι ἀκούσαντάς τι ἐν τῷ παραχρῆμα νῦν διαβουλεύσασθαι. οἱ μέν γε σχολῇ περὶ τῶν εἰσαγγελλομένων σκοποῦνται, ὑπάρχει τε αὐτοῖς, ἐάν τι ἐξαμαρτάνωσιν, αἰτίαν ἔχειν καὶ λόγον αἰσχρὸν ἐκ τῶν ἄλλων πολιτῶν· ὑμῖν δὲ οὐκ εἰσὶν ἕτεροι ὑφ' ὧν αἰτίαν ἔχοιτε· τὰ γὰρ ὑμέτερα αὐτῶν ἐφ' ὑμῖν δικαίως ἐστὶ καὶ εὖ καὶ κακῶς, ἐὰν βού- 15
λησθε, διαθέσθαι. ἃ γε μέντοι ἔξω τῶν ἀπορρήτων οἷόν [6] τέ μοί ἐστιν εἰπεῖν εἰς ὑμᾶς ἤδη πεπραγμένα, ἀκούσεσθε. ἐπίστασθε γάρ που, ὡς ἠγγέλθη ἡμῖν ὅτι οὐ μέλλει ἐκ Κύπρου

[1] Deest τῆς. [2] δαπανῶν [3] Deest αὐτῶν. [4] ἐργάζεται
[5] Deest πολύ. [6] γέ

Δαπανῶν] Lego δαπανῶντες. aut alias leg. καὶ ἔτι τῶν κοινῶν χρημάτων δαπανῶν, ποιοῦσιν —. IDEM.

Καὶ ἔτι τῶν κοινῶν χρημάτων, δαπανῶν ποιοῦσιν ὑμᾶς, εἴ τι τυγχάνουσι, ἀγαθὸν] Neutra Reiskianarum deterior, ut opinor, nostra est emendatio: καὶ ἔτι τῶν κοινῶν χρημάτων δαπάνας, ποιοῦσιν ὑμᾶς, εἴ τι τυγχάνουσιν, ἀγαθόν. *Nonne isti duces cum corporum vestrorum miseria et periculis publicique erarii impensa vobis praestant, si quam praestant, utilitatem?* SLUITER.

Στεφανοῦνταί γε ὑφ' ὑμῶν] Scribendum arbitror στεφανοῦνταί τι ὑφ' ὑμῶν —. IDEM.

Ἐργάζεται] A Stephano est. Aldina dat ἐργάζεσθαι. quod ego equidem non metassem. REISK.

Τι γινώσκειν] Expungo τι, ut natum ex initio proximi vocabuli γινώσκειν. IDEM.

Ἴσασιν, ἡ Βουλὴ, οὓς] Ab alio adjectum ἡ βουλὴ ejiciendum esse censet Valckenaerius. SLUITER.

Ἁμαρτεῖν τι ἐν τῷ π.] Pronomen τι abesse malim. REISK.

Παραχρῆμα νῦν] Tolle comma. nam ista duo vocabula arcte cohaerent. *jam nunc statim.* IDEM.

Οἷόν γε] Π. οἷόν τι. H. STEPHAN.

Ὡς ἠγγέλθη ἡμῖν] Valckenaerius cor-

σῖτος ἥξειν ἐνταῦθα· ἐγὼ τοίνυν τοιοῦτός τε καὶ τοσοῦτος
ἐγενόμην, ὥστε τοὺς ἄνδρας τοὺς ταῦτα βουλεύσαντας ἐφ'
ὑμῖν καὶ πράξαντας ψευσθῆναι τῆς αὐτῶν γνώμης. καὶ ὡς 86
μὲν ταῦτα διεπράχθη, οὐδὲν προὔργου ἀκοῦσαι ὑμῖν· τὰ δὲ
νυνὶ βούλομαι ὑμᾶς εἰδέναι, ὅτι αἱ μέλλουσαι νῆες ἤδη σι-
ταγωγοὶ καταπλεῖν εἰς τὸν Πειραιᾶ εἰσὶν ὑμῖν τέτταρες
καὶ δέκα, αἱ δὲ λοιπαὶ τῶν ἐκ Κύπρου ἀναχθεισῶν ἥξουσιν
ἀθρόαι οὐ πολὺ ὕστερον. ἐδεξάμην δ' [1] ἂν [τι] πάντων χρη-
μάτων εἶναι ἐν ἀσφαλεῖ φράσαι πρὸς ὑμᾶς ἃ καὶ τῇ βουλῇ
ἐν ἀπορρήτῳ εἰσήγγειλα, ὅπως αὐτόθεν [2] προήδειτε. νῦν δὲ
ἐκεῖνα μὲν τότε ὅταν ἀποτελεσθῇ γνώσεσθε ἅμα καὶ ὠφε-
ληθήσεσθε· νῦν δέ, ὦ Ἀθηναῖοι, εἴ μοι βουληθείητε δοῦναι
χάριν μικράν τε καὶ ἄπονον ὑμῖν καὶ ἅμα δικαίαν, πάνυ
ἂν μοι τοῦτο ἐν μεγάλῃ ἡδονῇ γένοιτο. ὡς δὲ καὶ δικαία
ἐστὶν, εἴσεσθε. ἃ γάρ μοι αὐτοὶ γνόντες τε καὶ ὑποσχό-
μενοι ἔδοτε, ὕστερον δὲ ἑτέροις πειθόμενοι ἀφείλεσθε, ταῦθ'
ὑμᾶς, εἰ μὲν βούλεσθε, αἰτῶ, εἰ δὲ μὴ βούλεσθε, ἀπαιτῶ.
ὁρῶ δὲ ὑμᾶς πολλάκις καὶ δούλοις ἀνθρώποις καὶ ξένοις παν- 87
τοδαποῖς πολιτείας διδόντας τε καὶ εἰς χρήματα μεγάλας
δωρεάς, οἳ ἂν ὑμᾶς φαίνωνται ποιοῦντές τι ἀγαθόν. καὶ
ταῦτα μέντοι ὀρθῶς ὑμεῖς φρονοῦντες δίδοτε· οὕτω γὰρ ἂν
ὑπὸ πλείστων ἀνθρώπων εὖ πάσχοιτε. ἐγὼ τοίνυν τοσοῦτον
ὑμῶν μόνον δέομαι· τὸ ψήφισμα ὃ Μενίππου εἰπόντος ἐψη-
φίσασθε, εἶναί μοι ἄδειαν, πάλιν ἀπόδοτε. ἀναγνώσεται
δὲ ὑμῖν αὐτό· ἔτι γὰρ καὶ νῦν ἐγγέγραπται ἐν τῷ βου-
λευτηρίῳ.

[1] ἀντὶ

[2] προειδῆτε

rexit ὑμῖν, quod et mihi pridem visum est. Sluiter.

Ἥξειν ἐνταῦθα. ἐγὼ] Distinguendum et legendum videtur sic: ἥξειν, ἐνταῦθα ἐγὼ τί; *adventurum esse* (scil. huc Athenas; quod subauditur). *Hic* (in ejusmodi tempore) *quid ego?* scil. cœpi, instituī, egi? τοσοῦτος — Verum offendor illa dictione τοσοῦτος ἐγενόμην, quam non satis intelligo. Num significat *tantam operam dedi*, ut τοσοῦτος ἐγενόμην significat, *eam operam dedi?* Mihi videtur ἐγένετο leg. esse. scil. σῖτος. tanta veniebat copia frumenti, ejusque tam boni. Reisk.

Τὰ δὲ νυνὶ] Quod autem ad ea attinet, quæ nunc fiunt. Idem.

Ἀντὶ πάντων] Malim ἀν πάντων—. Idem.

Vid. p. 292. v. 19.

Εἰ δὲ μὴ βούλεσθε] Possit hoc μὴ etiam abesse. *peto, aut si mavultis, postulo.* Idem.

Ὁρῶ δὲ] Hoc δὲ hic loci, ut alias sæpe, accipi debet pro γάρ. Idem.

Παντοδαποῖς] Π. παντοδαπῶς. H. Stephan.

Πολιτείας διδόντας τε καὶ] Malim πολιτείαν τε διδόντας, καὶ —. Reisk.

Ἔτι γὰρ καὶ νῦν ἐγγέγραπται (τὸ ψήφισμα) ἐν τῷ βουλευτηρίῳ] Si ita scripsisset Andocides, videtur additurus fuisse, quibus tabulis inscriptum esset decretum: nam cæteroquin quare ἐγγέγραπται? Aptius erat et magis perspicuum simplex γέγραπται. Quapropter vel sic ab Andocide scriptum arbitror, vel ἀναγέγραπται. Sæ-

ΨΗΦΙΣΜΑ.

ε΄. Τουτὶ τὸ ψήφισμα ὃ ἠκούσατε ψηφισάμενοί μοι, ὦ Ἀθηναῖοι, ὕστερον ἀφείλεσθε χάριν ἑτέρῳ φέροντες. πείθεσθε οὖν μοι, καὶ ἤδη παύσασθε εἴ τῳ ὑμῶν διάβολόν τι ἐν τῇ γνώμῃ περὶ ἐμοῦ παρέστηκεν. εἰ γὰρ ὅσα οἱ ἄνθρωποι γνώμῃ ἁμαρτάνουσι, τὸ σῶμα αὐτῶν μὴ αἴτιόν ἐστιν, ὁμοῦ τὸ μὲν σῶμα τυγχάνει τοῦτ' ἀναίτιον, ὅπερ τῆς αἰτίας ἀπήλλακται, ἡ δὲ γνώμη ἀντὶ τῆς προτέρας ἑτέρα νυνὶ 40
88 παρέστηκεν. οὐδὲν οὖν ἔτι ὑπολείπεται, ὅτῳ ἄν μοι δικαίως διαβεβλῆσθε. ὥςπερ δὲ τῆς τότε ἁμαρτίας τὰ ἀπὸ τῶν ἔργων σημεῖα ἔφατε χρῆναι πιστότατα ποιούμενοι κακόν με ἄνδρα ἡγεῖσθαι, οὕτω καὶ ἐπὶ τῇ νῦν εὐνοίᾳ μὴ ζητεῖτε ἑτέραν βάσανον ἢ τὰ ἀπὸ τῶν νυνὶ ἔργων σημεῖα ὑμῖν γινόμενα. πολὺ δέ μοι προσήκει ταῦτα μᾶλλον ἐκείνων, καὶ τῷ 23.1
γένει συνηθέστερά ἐστι. τάδε γὰρ οὐ ψευσαμένῳ μοι λαθεῖν οἷόν τ' ἐστι τούς γε πρεσβυτέρους ὑμῶν, ὅτι ὁ τοῦ ἐμοῦ

pius hæc verba permutata sunt, v. g. apud Lysiam in Nicomachum p. 183. v. 27. ed. Steph. Est autem verbum ἀναγράφειν proprium et de legibus, et de aliis rebus, quæ solennitur describuntur, et in tabulas referuntur, ut passim in d. Or. et pro Polystrato p. 159. v. 39. εἰ ξένος τις εὐεργέτης ἀναγραφῆναι ἠξίου: Demosthenes in Neæram p. 1381. v. 10. ed. R. τοὺς δοκιμασθέντας ἀναγραφῆναι ἐν στήλῃ λιθίνῃ. Eratque hic mos Athenis, ut leges vel recens perlatas vel denuo probatas publica auctoritate describi (ἀναγράφεσθαι) curarent. Vid. Andocidem de Myster. p. 11. v. 22. 27. et 34. p. 12. v. 10. ed. Steph. Æschinem in Timarch. p. 2. v. 3. in Ctesiphont. p. 59. init. ed. Steph. Conf. et Demosthenem in Timocrat. 701. v. 14. p. 707. v. 12. Sluiter.

Διαβαλόντι] Π. διάβολόν τι, ἢ, διαβολή τις. H. Stephan.

Ὁμοῦ] Imo vero ἐμοῦ. Reisk.

Τυγχάνει τοῦτ' ἀναίτιον, ὅπερ τῆς αἰτίας ἀπήλλακται] Obscura hæc et tautologiæ similia non satis intelligo. Et si vel possit etiam intelligi, mera tamen est cavillatio. Eoqui enim corpus per se unquam peccare potest sine mente? et quæ mens puniri sine corpore? Semper hoc est glaucoma sophisticum. Sed videtur scripsisse: ἐμοῦ τὸ μὲν σῶμα τυγχάνει ταὐτὸν ὄν, ὅπερ τ. αἰτ. ἀπ. *corpus quidem meum idem est, quod ante fuit (atqui corpus hoc culpa vacat), mens autem, quæ culpam admisit, alia nunc est.* Idem.

Τὸ σῶμα αὐτῶν μὴ αἴτιόν ἐστι κ. τ. λ.] De hisce, quæ obscura judicavit Reiskius et emendare conatus est, Luxacii sententiam ipsius verbis exponam. "Hæc obscura esse et tautologiæ similia, quin glaucoma sophisticum, vere judicat Reiskius: sed levi mutatione hæ nubes, nisi fallor, dispellentur: μὴ αἴτιον transeat in vocem Atticam, et a Budæo ac Stephano tractatam μεταίτιον, contrariæ plane significationis, hoc modo: εἰ γὰρ ὅσα οἱ ἄνθρωποι γνώμῃ ἁμαρτάνουσι, τὸ σῶμα αὐτῶν μεταίτιον ἐστιν, ὁμοῦ (vel melius ὁμῶς) τὸ μὲν σῶμα τυγχάνει τοῦτ' ἀναίτιον κ. τ. λ. Tunc est antapodosis et idonea inter duo periodi membra oppositio: μεταίτιον — ἀναίτιον. *Etenim, si quodcumque homines animo conceptum crimen perpetrant, corpus eorum illius criminis particeps est ac culpæ consors pœnam patitur, ita pariter, ab altera parte, corpus illud extra crimen pœnamque esse debet, quod omni culpa vacat et ab accusatione remotum est, cujus autem mens a priore mente mutata est et plane alia.* Nimirum pristinos mores pristinumque animum jam abjurabat Andocides; indeque efficiebat, cum non nisi mente peccasset, corpus etiam suum extra pœnam esse debere. Sluiter.

Σημεῖα —] Verba trajectione conturbata sic videntur in ordinem redigenda: τὰ ἀπὸ τῶν ἔργων σημεῖα πιστότατα ποιούμενοι, ἔφατε χρῆναι κακόν με ἀνδραήγεῖσθαι. Reisk.

πατρὸς πρόσαππος Λεωγόρας στασιάσας πρὸς τοὺς τυράννους ὑπὲρ τοῦ δήμου, ἐξὸν αὐτῷ [1] διαλλαχθέντι τῆς ἔχθρας καὶ γενομένῳ κηδεστῇ ἄρξαι μετ' ἐκείνων τῶν ἀνδρῶν τῆς πόλεως, εἵλετο μᾶλλον ἐκπεσεῖν μετὰ τοῦ δήμου καὶ φεύγων κακοπαθεῖν μᾶλλον ἢ προδότης αὐτῶν καταστῆναι. ὥςτ' ἔμοιγε καὶ διὰ τὰ τῶν προγόνων ἔργα εἰκότως ὑπάρχει δημοτικῷ εἶναι, εἴπερ τι ἄλλο νῦν γε φρονῶν τυγχάνω. ὧν καὶ ἕνεκα εἰκὸς ὑμᾶς, ἐὰν χρηστὸς ὢν ἀνὴρ εἰς ὑμᾶς φαίνωμαι, προθυμότερόν μου ἀποδέχεσθαι τὰ πραττόμενα. τὸ δὲ δόντας ἐμοὶ τὴν ἄδειαν ἀφελέσθαι ὑμᾶς, εὖ ἴστε ὅτι οὐδεπώ ποτε ἠγανάκτησα· ὅπου γὰρ ὑπὸ τῶν ἀν- 89
δρῶν τούτων αὐτοὶ εἰς ὑμᾶς αὐτοὺς ἐπείσθητε τὰ μέγιστα ἐξαμαρτεῖν, ὥςτε ἀντὶ τῆς ἀρχῆς δουλείαν ἀλλάξασθαι, ἐκ δημοκρατίας δυναστείαν καταστήσαντες, τί ἄν τις ὑμῶν θαυμάζοι καὶ εἰς ἐμὲ εἴ τι ἐπείσθητε ἐξαμαρτεῖν; βουλοίμην μέντ' ἄν, ὥςπερ ἐν τοῖς ὑμετέροις αὐτῶν πράγμασιν, ἐπειδὴ ἐξουσίαν ἐλάβετε, τὰς τῶν ἐξαπατησάντων ὑμᾶς ἀκύρους ἔθετε βουλὰς, οὕτω καὶ ἐν ᾧ περὶ ἐμοῦ ἐπείσθητε γνῶναί τι ἀνεπιτήδειον, ἀτελῆ τὴν γνώμην [2] αὐτῶν ποιῆσαι, καὶ μήτε ἐν τούτῳ μήτε [3] ἐν ἑτέρῳ τῳ τοῖς ὑμῶν αὐτῶν ἐχθίστοις ὁμόψηφοί ποτε γένησθε.

[1] διαλλαχθέντα [2] αὐτῶν [3] Deest ἐν.

Πρόσαππος] Reddidi ac si legissem: πατρίπαππος. avus paternus. IDEM. Ad hoc Valckenaerius, consentiens cum iis quae, quam Cap. I. monuimus, scripserat: "Legendum πάππος. Leogoras ille ipsius erat Andocidis πρόπαππος, quod vel e nomine liquet, sed manifestum est e p. 14. v. 22. ed. Steph. στρατηγοῦντος Λεωγόρου τοῦ προπάππου τοῦ ἐμοῦ. SLUITER.

Διαλλαχθέντα] Π. διαλλαχθέντι. H. STEPHAN.

Εἶναι εἴπερ τι] Π. εἶναι, ὃ, εἴπερ τι ἄλλο, νῦν —. H. STEPHAN. Mihi videtur auctoris sententia haec ferme postulare — εἶναι, καὶ ὅτι, εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν γε φρονῶν τυγχάνω. et quod, antea si non sapui, nunc certe sapio. REISK. F. εἰ περὶ τὰ ἄλλα (aut περὶ τἆλλα) νῦν γε φρονῶν τυγχάνω. si in caeteris rebus nunc certe sapio. LYS. Def. pro Mantith. p. 145. v. 37. ed. Steph. ἀξιῶ δὲ, ἐὰν μὲν τοῦτο μόνον ἐμοὶ ἐπιδείξω, ὡς οὗτος ἐμοὶ τοῖς καθεστηκόσι πράγμασι —, μᾶλλόν πώ μοι φίλιον εἶναι· ἐὰν δὲ φαίνωμαι περὶ τὰ ἄλλα μετρίως βεβιωκὼς —, δίκαιος ὑμῶν ἐμὲ μὲν σωφρονίζειν, τούτους δὲ ἐχθίστους εἶναι.

Εἰκότως ὑπάρχει — τυγχάνω] Luzacius legit: εἰκότως ὑπάρχων δημοτικῷ εἶναι, εἴπερ τι ἄλλο τε, νῦν γε φρονῶν τυγχάνω. "Sic νῦν γε habet (inquit), cui opponatur ἄλλο τε, quod omnino requiritur. *Ita ut, quum ad me, propter majorum facinora, omnino probabiliter pertineat popularem esse, si alio tempore aliter fortassis senserim, nunc certe* (a priore mente mutatus) *sic sentio.*" SLUITER. Sententia et obscura et manca. equidem conjeci: καὶ εἴπερ τι ἁμάρτημα, ἀλλὰ νῦν γε φρονῶν τυγχάνω. *Ad Xen. Cyrop.* l. viii. c. 8. §. 20. SCHNEIDER.

Γίγνεσθε] Verbum ultimum Orationis γίνεσθε mutari malim in γενέσθαι, quia, eoque ac praecedens ψηφίσαι, rectius videtur pendere a βουλαίμην, quam absolute dici. SLUITER.

ΑΝΔΟΚΙΔΟΥ

ΛΟΓΟΣ

ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΟΥΣ ΕΙΡΗΝΗΣ:

I. OTT. SLUITERI

AD

ORATIONEM ANDOCIDIS

DE PACE CUM LACEDÆMONIIS

PRÆFATIO.

—

NON germanam Andocidis esse hanc Orationem, præter Dionysium Halicarnasseum, Auctore Argumenti teste, judicarunt etiam alii, aut saltem dubitarunt, an vere esset ab Andocide conscripta: Harpocration, qui ter eam laudat, semper addit εἰ γνήσιος: Tib. Hemsterhusius ad Aristophanis Plutum p. 474. "Andocides (inquit), seu verus sit, sive ficto nomine suppositus, in initio περὶ τῆς πρὸς Λακεδαιμονίους εἰρήνης. Additque illum et Æschinem prope finem Orationis *de male obita Legatione*, (p. 51. v. 13. ed. Steph.) verbis scripsisse tam similibus, ut alter ab altero fuisse mutuatus videatur." 'Andocides, seu quis alius Orator de Pace cum Lacedæmoniis,' testis citatur a Marklando ad Lysiam p. 477. v. 7. et 'Pseudo-Andocidem fere verbatim Æschinea transcripsisse, in Orationem suam π. τ. π. Λακ. Εἰρήνης,' idem ait ad l. l. Æschinis: Taylorus suo more non dubiam sibi visus censuram agere Lect. Lys. c. 6. p. 693. Sophistæ Orationem esse statuit, qui iisdem per omnia pæne verbis locum emendicarit, ex fine Orationis Æschineæ *de ementita legatione*, descriptis, uti fit, perperam quæ hujus erant. Valckenaerio contra accurate lecta Andocidis esse videbatur: "idem (inquit) ingenium, idem elucet scribendi color." Etiam Wesselingius ad Diod. Sic. l. XII. c. 8. et Ruhnkenius in Histor. Crit. Orat. Gr. p. 52. exscriptum ab Æschine censent Andocidem. Sic Lysiam in Or. de Bon. Aristophan. descripsisse Andocideam *de Mysteriis* Orationem, ipse animadvertit Taylorus Lect. Lys. p. 678. Ita de Lysia atque Isocrate sæpe V. D. dubitant, uter utrum expresserit; et Isocrates quidem, negans se unquam alienos pannos adsumsisse, non vereri se ait, sua ipsum dicta repetere, "ὁρῶν τοὺς ἄλλους τοῖς ἐμοῖς χρωμένους," ad Philipp. p. 101. A. Nihil igitur

mirum, si posterior ætate Æschines vetustioris Andocidis loco sit usus; neque ea satis idonea causa est, cur Andocideam a Sophista conscriptam judicemus. Quod si in historicis erret Orator, haud magis id eo valet, ut Andocidi Oratio abjudicetur, qui alibi etiam historica confundit. Quod vero eadem Æschines brevius, longius Andocides dicit, id maxime contra Taylorum facere videtur; magis enim is, qui exscribit, contrahere priorum dicta, quam stilo augere solet. Igitur, si Æschines lacinia Andocidea non potuisse uti videatur, magis in illam propendebat sententiam Valckenaerius, ut eam Æschineæ Orationi ab alio assutam arbitraretur. Quod si Andocides historica confuderit, haud insolitum illud fuisse Oratoribus Atticis animadvertebat; cum et Cæcilius a Suida v. Καικίλιος scripsisse dicatur περὶ τῶν καθ' ἱστορίαν ἢ παρ' ἱστορίαν εἰρημένων τοῖς ῥήτορσι. Præcipuus autem Oratoris error est, quod Miltiadem laudaverit pacis cum Lacedæmone auctorem, qui non Miltiades fuit, sed Cimon, uti præter alios ex Corn. Nepote in Vita Cimonis c. 3. apparet. Denique, uti in concione populi ab Andocide habitam putabat, sic pacem intelligi suspicabatur, quæ prima fuit post muros dejectos, de qua conf. Xenophon Hellen. l. V. p. 321. seq. edit. Steph. Pleraque, quæ sequuntur, historica recte sese habere judicabat Valckenaerius, ex Thucydide et Diodoro Siculo probanda. Hocce viri summi judicium, quicumque Orationem diligenter legerit, probaturum arbitror: equidem re bene perpensa, quum antea contra sentirem, his rationibus in Valckenaerii sententiam sum pertractus.

ΑΝΔΟΚΙΔΟΥ

ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΟΥΣ ΕΙΡΗΝΗΣ ΛΟΓΟΣ.

Pag. ed. H. Steph. 23. 25

ΥΠΟΘΕΣΙΣ.

Pag. ed. Reisk.

ΤΟΥ Ἑλληνικοῦ μηκυνομένου πολέμου, καὶ πολλὰ μὲν Ἀθηναίων κακὰ, πολλὰ δὲ Λακεδαιμονίων, ὑπομεινάντων, καὶ τῶν ἑκατέρων συμμάχων, Ἀθηναῖοι πρέσβεις ἀπέστειλαν πρὸς Λακεδαιμονίους αὐτοκράτορας· ὧν ἐστι καὶ Ἀνδοκίδης. τινῶν δὲ προαθέντων παρὰ Λακεδαιμονίων, καὶ ἀποστειλάντων ἐκείνων ἰδίους πρέσβεις, ἔδοξεν ὥςτε εἶσω τεσσαράκοντα ἡμερῶν ἐπιβουλεύσασθαι τὸν δῆμον περὶ τῆς εἰρήνης. καὶ ἐπὶ τούτοις Ἀνδοκίδης συμβουλεύει τοῖς Ἀθηναίοις καταδέξασθαι τὴν εἰρήνην. Ἔστι μὲν οὖν συμβουλῆς τὸ εἶδος· πεφάλαιον δὲ τὸ συμφέρον. Φιλόχορος μὲν οὖν λέγει καὶ ἐλθεῖν τοὺς πρέσβεις ἐκ Λακεδαιμονίας, καὶ ἀπράκτους[1] ἀνελθεῖν, μὴ πείσαντος τοῦ Ἀνδοκίδου. ὁ δὲ Διονύσιος νόθον εἶναι λέγει τὸν λόγον. 89 90

30 ά. Ὅτι μὲν εἰρήνην ποιεῖσθαι δικαίαν ἄμεινόν ἐστιν ἢ πολεμεῖν, δοκεῖτέ μοι, ὦ Ἀθηναῖοι, [2]πάντες γινώσκειν· ὅτι δὲ οἱ ῥήτορες τῷ μὲν ὀνόματι τῆς εἰρήνης συγχωροῦσι, τοῖς δ' ἔργοις ἀφ' ὧν ἡ εἰρήνη γένοιτο ἐναντιοῦνται, τοῦτο [3]δὲ οὐ πάντες αἰσθάνεσθε. λέγουσι γὰρ, ὡς ἔστι δεινότατον τῷ
35 δήμῳ, γενομένης εἰρήνης, ἣ νῦν οὖσα πολιτεία μὴ καταλυθῇ. εἰ μὲν οὖν μηδεπώποτε [4]πρότερον ὁ δῆμος ὁ τῶν Ἀθηναίων εἰρήνην ἐποιήσατο πρὸς Λακεδαιμονίους, εἰκότως ἂν ἐφοβούμεθα αὐτὸ διά τε τὴν ἀπειρίαν τοῦ [5]ἔργου διά τε τὴν ἐκείνων ἀπιστίαν· ὅπου δὲ πολλάκις ἤδη πρότερον εἰρήνην ἐποιή- 91
σατε δημοκρατούμενοι, πῶς οὐκ εἰκὸς ὑμᾶς πρῶτον ἐκεῖνα σκέψασθαι τὰ τότε γενόμενα; χρὴ γὰρ, ὦ Ἀθηναῖοι,

[1] ἀπαπλεῖν [2] Deest πάντες. [3] Deest δέ.
[4] Deest πρότερον. [5] Ἴσχυε, καὶ διὰ τὴν

Εἰρήνην] F. εἰρήνῃ. Ita reddidit Pulmeus: *verbotenus paci favent*. quære tamen. TAYLOR.

Δεινότατον] Id est h. l. μεστὸν πλείστου δέους, *admodum metuendum*. REISK.

Τὴν ἐκείνων ἀπιστίαν] Propterea quod iis fidi nullo modo potest. IDEM.

Ἐνοώσατε] Imo vero ἐνοήσασθε in medio. quod modo præcessit. IDEM.

Χρὴ γὰρ, ὦ Ἀθηναῖοι,—] Prudentissimum hoc præceptum, quod paullo diversis verbis infra bis repetit p. 27. v. 9. et 32. ed. Steph. et aliis imitatione et Patribus Ecclesiæ laude dignum visum est. Clemens Alexandrinus Strom. l. vi. p. 747. postquam similia duo Euripidis loca laudavit,

τεκμηρίοις χρῆσθαι τοῖς πρότερον γενομένοις περὶ τῶν μελ- 40
λόντων ἔσεσθαι. ἡνίκα τοίνυν ἦν μὲν ὁ πόλεμος ἡμῖν ἐν Εὐ-
βοίᾳ, Μέγαρα δὲ εἴχομεν καὶ Πηγὰς καὶ Τροιζῆνα, εἰρήνης
ἐπεθυμήσαμεν, καὶ Μιλτιάδην τὸν Κίμωνος ὠστρακισμένον
καὶ ὄντα ἐν Χερρονήσῳ κατεδεξάμεθα δι' αὐτὸ τοῦτο, πρό-
ξενον ὄντα Λακεδαιμονίων, ὅπως πέμψαιμεν [1] εἰς Λακεδαί-
μονα προκηρυκευσόμενον περὶ σπονδῶν. καὶ τότε ἡμῖν εἰρήνη
ἐγένετο πρὸς Λακεδαιμονίους ἔτη πέντε, καὶ ἐνεμείναμεν 24. 1
ἀμφότεροι ταύταις ταῖς σπονδαῖς ἔτη τριακαίδεκα. ἓν δὴ
τοῦτο, ὦ Ἀθηναῖοι, πρῶτον σκεψώμεθα. ἐν ταύτῃ τῇ εἰρήνῃ
ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἔσθ' ὅπου κατελύθη; οὐδεὶς ἀπο-
δείξει. ἀγαθὰ δὲ ὅσα ἐγένετο διὰ ταύτην τὴν εἰρήνην, ἐγὼ
ὑμῖν φράσω. πρῶτον μὲν τὸν Πειραιᾶ [2] τότε ἐτειχίσαμεν ἐν
τούτῳ τῷ χρόνῳ, εἶτα τὸ μακρὸν τεῖχος τὸ βόρειον· ἀντὶ δὲ 5
τῶν τριηρῶν αἱ τότε ἡμῖν ἦσαν παλαιαὶ καὶ ἄπλοι, αἷς
Ξασιλέα καὶ βαρβάρους καταναυμαχήσαντες ἠλευθερώσα-
μεν τοὺς Ἕλληνας, ἀντὶ τούτων τῶν νεῶν ἑκατὸν τριήρεις

[1] εἰς

[2] Deest τότε.

hinc expressa sit verba Hyperidis: ἃ δ' ἐστὶν ἀφανῆ, ἀνάγκη τοὺς διδάσκοντας τεκμη-ρίοις καὶ τοῖς εἰκόσι ζητεῖν. Deinde addit: Ἰσοκράτους τι αὖ εἰπόντος, Δεῖ δὲ τὰ μέλ-λοντα τοῖς προγεγενημένοις τεκμαίρεσθαι· Ἀνδοκίδης οἷα ἀκριβῆ λέγει, Χρὴ γὰρ τεκμηρίοις χρῆσθαι τοῖς πρότερον γενομένοις περὶ τῶν μελλόντων ἔσεσθαι· quasi Andocides ex Isocrate, non hic ex illo, sua hauserit: forte et scriptor ille, quem compilavit Clemens, spuriam Orationem *de Pace* habuit, nisi inverso ordine verba illius de-scripserit Clemens. Ex hoc autem, quem-admodum et ex Eusebio et Cyrillo Alexandrino, sua congessit Theodoretus Serm. vi. p. 581. A. (p. 102. v. 6. edit. Sylburg.) qui et Andocidis locum ita descripsi Χρὴ τεκμηρίοις κεχρῆσθαι τοῖς προγεγενημένοις περὶ τῶν μελλόντων. Locus, quem illi citant, Isocratis exstat in Panegyrico p. 70. A. ubi tamen exempla edita non habent τοῖς προγεγενημένοις, sed τοῖς γεγενημένοις. Similiter locum Andocidis expressit Lysias p. 173. v. 31. ed. Steph. Χρὴ τοίνυν — τοῖς πρότερον γεγενημένοις παραδείγμασι χρωμένους, βουλεύεσθαι περὶ τῶν μελλόντων ἔσεσθαι. Ante reliquos autem idem jam dixerat Sophocles in Œd. Tyr. v. 915.

—— —— οὐδ', ὅστις ἀνὴρ
Ἔτους, τὰ πανὰ τοῖς πάλαι τεκμαίρεται.

SLUITER.

Πηγὰς] Harpocration ex h. l. citans dicit esse, τόπον ἐν Μεγάροις, auctore Hellanico. Pegas simul cum Megaris ia Atheniensium fuisse potestate, et Thucydide auctore constat l. i. c. 103. (ad q. l. Scholiasta dicit fuisse ἐμπόριον πλησίον Μεγάρων) c. 107. et c. 111. IDEM.

Μιλτιάδην τὸν Κίμωνος] Non Miltiades Cimonis, sed Cimo Miltiadis, fuit, qui pacem hanc cum Lacedæmoniis sancivit, si fides habenda sit Æmilio, Plutarcho, et Diodoro Sic. Vid. tamen Æschin. p. 51. 14. ed. Steph. TAYLOR.

Πέντε] Quid? Num ἔτη τριακαίδεκα ἐκ τῶν πέντε? Ita omnino sequeretur, ut lectio stat. Non profecto Miltiades pacem in quinquennium solummodo pepigit cum Lacedæmoniis, sed in annum quinquagesi-mum, si fides Æschini. margo quoque Pulnæi dat: Alii, quinquaginta. IDEM.

Πέντε] Imo vero εἰς ἔτη πεντήκοντα, et recte Taylor ex Æschine in Lectios. Lysiacis c. 6. emendat. REISK. Corrupta Andocidis verba sic restituo: εἰρήνη ἐγέ-νετο πρὸς Λακεδαιμονίους ἔτη πεντήκοντα. Nam annorum quinquaginta, et non quin-que pax hæc fuit; etsi tredecim tantum ex istis sarta tecta. *In Athen. Att.* l. iii. c. 11. MEURSIUS.

Ἄπλοι] Ἄπλωτοι. TAYLOR.

ἐναυπηγησάμεθα· καὶ πρῶτον τότε τριακοσίους ἱππεῖς κατ- 92
εστησάμεθα, καὶ τοξότας τριακοσίους Σκύθας ἐπριά-
μεθα. καὶ ταῦτα ἐκ τῆς εἰρήνης τῆς πρὸς Λακεδαιμονίους
ἀγαθὰ τῇ πόλει καὶ δύναμις τῷ δήμῳ τῶν Ἀθηναίων ἐγέ-
νετο. μετὰ δὲ ταῦτα δι' Αἰγινήτας εἰς πόλεμον κατέστημεν,
καὶ πολλὰ κακὰ παθόντες, πολλὰ δὲ ποιήσαντες, ἐπεθι-
μήσαμεν πάλιν τῆς εἰρήνης· καὶ ἡρέθησαν δέκα ἄνδρες ἐξ
Ἀθηναίων ἁπάντων πρέσβεις εἰς Λακεδαίμονα περὶ εἰρήνης
αὐτοκράτορες, ὧν ἦν [1] καὶ Ἀνδοκίδης ὁ πάππος ὁ ἡμέτερος·
οὗτοι ἡμῖν εἰρήνην ἐποιήσαντο πρὸς Λακεδαιμονίους ἔτη τρι-
κοντα. καὶ ἐν τοσούτῳ χρόνῳ ἔστιν ὅπου, ὦ Ἀθηναῖοι, ὁ
δῆμος κατελύθη; τί [2] δέ; πράττοντές τινες δήμου κατά-
λυσιν ἐλήφθησαν; οὐκ ἔστιν ὅστις ἀποδείξει, ἀλλ' αὐτὸ τὸ
ἐναντιώτατον. αὕτη γὰρ ἡ εἰρήνη τὸν δῆμον τῶν Ἀθηναίων
ὑψηλὸν ἦρε καὶ κατέστησεν ἰσχυρὸν οὕτως, ὥστε πρῶτον
μὲν ἐν τούτοις τοῖς ἔτεσιν εἰρήνην λαβόντες ἀνηνέγκαμεν
χίλια τάλαντα εἰς τὴν ἀκρόπολιν, καὶ νόμῳ κατεκλείσα 93
μεν ἐξαίρετα εἶναι τῷ δήμῳ· τοῦτο δὲ τριήρεις ἄλλας ἑκατὸν
ἐναυπηγησάμεθα, καὶ ταύτας ἐξαιρέτους ἐψηφισάμεθα
εἶναι, νεωσοίκους τε ᾠκοδομησάμεθα, χιλίους τε καὶ δια-
κοσίους ἱππέας καὶ τοξότας τοσούτους ἑτέρους κατεστήσα-

[1] Deest *καί*.

[2] *δαὶ*

Καὶ δύναμις] Malim: *καὶ αὕτη ἡ δύναμις*. et sic quoque paulo post p. 310. 23. Reisk.

Πολλὰ κακὰ παθόντες, πολλὰ δὲ ποιήσαντες] Alius quis dicendi paulo diligentior, dicturus erat πολλὰ μὲν κακὰ παθόντες, πολλὰ δὲ καὶ ποιήσαντες. Idem.

Εὐρίθησαν] Π. ἠρέθησαν. H. Stephan.

Ἔτη] Malim εἰς ἔτη. finis vocabuli præcedentis Λακεδαιμονίους potuit præpositionem εἰς absorbere. Reisk.

Τί δαὶ] Malim hic loci quidem *τί δή*. Idem.

Αὕτη γὰρ ἡ εἰρήνη —] Vid Meurs. Cecrop. c. 26.

Εἰρήνην λαβόντες] Vocabulum prius mihi suspectum est. videtur in eo potius nomen urbis aut regionis alicujus ab Atheniensibus captæ et domitæ latere, e. c. Αἰγίνην. Sed conferenda historia, quod mihi nunc non vacat. Aut pro λαζόντες leg. est ἄγοντες. Reisk.

Ἐν τούτοις τοῖς ἔτεσιν εἰρήνην λαβόντες] "Illa Reiskii conjectura (ait Luxnoius) ut εἰρήνην in Αἰγίνην mutetur, nihili est: cæterum me non offendit locutio *ἐν τούτοις τοῖς ἔτεσιν εἰρήνην λαβόντες, cum per istos annos pacem accepissemus acceptaque servassemus*, seu *pace accepta fruiti fuissemus*." Altera Reiskii conjectura, εἰρήνην ἄγοντες, priori illa majorem habet speciem, maxime propter locum Æschinis, qui et ipse dicit p. 51. v. 20. ed. Steph. εἰρήνην ἔτη τριάκοντα ἠγάγομεν: tum quia dictio εἰρήνην ἄγειν passim est obvia, et in hac quidem Oratione sæpius occurrit, ut p. 26. v. 5. p. 27. v. 7. p. 28. v. 22. ed. Steph. et Isocratem Panegyr. p. 62. E. p. 77. A. Areopag. p. 140. c. et alibi: sic et σπονδὰς ἄγειν infra dicitur p. 26. v. 15. Sluiter.

Ἐξαιρέτους] Subaudi e præmissis τῷ δήμῳ. proprias reipublicæ, ut non possent aliis usibus, quam ejus, impendi. Reisk.

Νεωσοίκους] Ex h. l. citant Harpocration et Suidas, ad verbum eandem repetentes notam, quæ ut Ulpiani exstat ad Demosthenem de Cherrhoneso p. 191. v. 16. Sluiter.

μεν, καὶ τὸ τεῖχος τὸ μακρὸν τὸ νότιον ἐτειχίσθη. ταῦτα ἐκ τῆς εἰρήνης τῆς πρὸς Λακεδαιμονίους ἀγαθὰ τῇ πόλει καὶ δύναμις τῷ δήμῳ τῶν Ἀθηναίων ἐγένετο. πάλιν δὲ διὰ Μεγαρέας πολεμήσαντες καὶ τὴν χώραν τμηθῆναι προέμενοι, πολλῶν ἀγαθῶν στερηθέντες αὖθις τὴν εἰρήνην ἐποιησάμεθα, ἣν ἡμῖν Νικίας ὁ Νικηράτου κατειργάσατο. αἴμαι δ' ὑμᾶς ἅπαντας εἰδέναι τοῦτο, ὅτι διὰ ταύτην τὴν εἰρήνην ἑπτακισχίλια μὲν τάλαντα νομίσματος εἰς τὴν ἀκρόπολιν ἀνηνέγκαμεν, ναῦς δὲ πλείους ἢ τετρακοσίας ἐκτησάμεθα, καὶ φόρος προσῆλθε κατ' ἐνιαυτὸν πλέον ἢ διακόσια καὶ χίλια τάλαντα, καὶ Χερρόνησόν τε εἴχομεν καὶ Νάξον καὶ Εὐβοίας πλέον ἢ τὰ δύο μέρη· τάς τε ἄλλας ἀποικίας καθ' 94 ἕκαστον διηγεῖσθαι μακρὸς ἂν εἴη λόγος. ταῦτα δ' ἔχοντες τὰ ἀγαθὰ πάλιν κατέστημεν εἰς πόλεμον πρὸς Λακεδαιμονίους, πεισθέντες καὶ τότε ὑπ' Ἀργείων.

Β'. Πρῶτον μὲν οὖν, ὦ Ἀθηναῖοι, τούτου ἀναμνήσθητε, ἃ ὑμῖν ἐξ ἀρχῆς ὑπεθέμην τῷ λόγῳ. [1] ἄλλο τι ἢ τοῦτο, ὅτι διὰ τὴν εἰρήνην οὐδεπώποτε ὁ δῆμος ὁ τῶν Ἀθηναίων κατελύθη; οὐκοῦν ἀποδέδεικται, καὶ οὐδεὶς ἐξελέγχει μὲ ὡς οὐκ ἔστι ταῦτα ἀληθῆ. ἤδη δέ τινων ἤκουσα λεγόντων ὡς ἐκ τῆς τελευταίας εἰρήνης τῆς πρὸς Λακεδαιμονίους οἵ τε τριάκοντα κατέστησαν, πολλοί τε Ἀθηναίων κώνειον πίοντες ἀπέθανον, οἱ δὲ φεύγοντες ᾤχοντο. ὁπόσοι οὖν ταῦτα λέγουσιν, οὐκ ὀρθῶς γινώσκουσιν· εἰρήνη γὰρ καὶ σπονδαὶ πολὺ διαφέρουσι σφῶν αὐτῶν. εἰρήνην μὲν γὰρ ἐξ ἴσου ποιοῦνται πρὸς ἀλλήλους ὁμολογήσαντες περὶ ὧν ἂν διαφέρωνται· σπονδὰς δέ, ὅταν κρατήσωσι κατὰ τὸν πόλεμον, οἱ κρείττους τοῖς ἥττοσιν ἐξ ἐπιταγμάτων ποιοῦνται, ὥσπερ ἡμῶν κρατήσαντες Λακεδαιμόνιοι τῷ πολέμῳ ἐπέταξαν ἡμῖν καὶ [3] τὰ τείχη καθαιρεῖν καὶ τὰς ναῦς παραδιδόναι καὶ

[1] ἄλλο ὅ,τι ἢ τοῦτο;
[2] κατιλύθη.
[3] Deest τά.

Τὰ δύο μέρη] subaudi ἀπὸ τῶν τριῶν. de tribus partibus duas. REISK.

Ἄλλο ὅ,τι ἢ τοῦτο] Malim: οὐκ ἄλλο τι ἢ τοῦτο. non aliud vel nil aliud, quam hoc. IDEM. Leg. ἄλλο τι ἤ. SLUITER.

Ἐξελέγχει] F. ἐξελέγξει. TAYLOR. Malim ἐξελέγξει, ut supra p. 308. 11. et p. 309. 13. ἀποδείξει. SLUITER.

Εἰρήνη — σπονδὰς] Cum hoc loco de discrimine εἰρήνης et σπονδῶν Luzacius confert Isocratem in Archidamo p. 126. p. χρὴ τοὺς ξουλομένους ἐλευθέρους εἶναι, τὰς μὲν ἐκ τῶν ἐπιταγμάτων συνθήκας φεύγειν, ὡς ἐγγὺς δουλείας οὔσας· ποιεῖσθαι δὲ τὰς διαλλαγὰς, ὅταν ἢ περιγίνωνται τῶν ἐχθρῶν, ἢ τὸν αὐτῶν δύναμιν ἐξισώσωσι τῇ τῶν πολεμίων· ὡς τοιαύτην ἕκαστοι τὴν εἰρήνην ἕξουσιν, οἵαν περ ἂν τοῦ πολέμου ποιήσωνται τὸν διάλυσιν. IDEM.

Καὶ τείχη] Malim τὰ τείχη. REISK.

τοὺς φεύγοντας καταδέχεσθαι. τότε μὲν οὖν σπονδαὶ κατ'
25.1 ἀνάγκην ἐξ ἐπιταγμάτων ἐγένοντο· νῦν δὲ περὶ εἰρήνης βουλεύεσθε. σκέψασθε δὲ ἐξ αὐτῶν τῶν γραμμάτων, ἃ τε ἡμῖν ἐν τῇ στήλῃ γέγραπται, ἐφ' οἷς τε νῦν ἔξεστι τὴν εἰρήνην ποιεῖσθαι. ἐκεῖ μὲν γέγραπται [1]τὰ τείχη καθαιρεῖν, ἐν δὲ 95
τοῖσδε ἔξεστιν οἰκοδομεῖν· ναῦς ἐκεῖ μὲν δώδεκα κεκτῆσθαι, νῦν δ' ὁπόσας ἂν βουλώμεθα· Λῆμνον δὲ καὶ Ἴμβρον καὶ
5 Σκῦρον τότε μὲν ἔχειν τοὺς ἔχοντας, νῦν δὲ ἡμετέρας εἶναι· καὶ φεύγοντας νῦν μὲν οὐκ ἐπαναγκες οὐδένα καταδέχεσθαι, τότε δ' ἐπάναγκες, ἐξ ὧν ὁ δῆμος κατελύθη. τί ταῦτα ἐκείνοις ὁμολογεῖ; τοσοῦτον οὖν ἔγωγε, ὦ Ἀθηναῖοι, διορίζομαι περὶ τούτων, τὴν μὲν εἰρήνην σωτηρίαν εἶναι τῷ δήμῳ καὶ δύναμιν, τὸν δὲ πόλεμον δήπου κατάλυσιν γίνεσθαι. περὶ μὲν οὖν τούτων ταῦτα λέγω.

γ'. Φασὶ δέ τινες ἀναγκαίως νῦν ἡμῖν ἔχειν πολεμεῖν· 10 σκεψώμεθα οὖν πρῶτον, ἄνδρες Ἀθηναῖοι, διὰ τί καὶ [2]πολεμήσωμεν. οἶμαι [3]γὰρ ἂν πάντας ἀνθρώπους ὁμολογῆσαι διὰ τάδε δεῖν πολεμεῖν, ἢ ἀδικουμένους ἢ βοηθοῦντας ἠδικημένοις. ἡμεῖς τοίνυν αὐτοί τε ἠδικούμεθα, Βοιωτοῖς τε ἀδικουμένοις ἐβοηθοῦμεν. εἰ τοίνυν ἡμῖν τέ ἐστι τοῦτο παρὰ Λακεδαιμονίων, [4]τὸ μηκέτι ἀδικεῖσθαι, Βοιωτοῖς τε δέδοκται ποιεῖσθαι τὴν εἰρήνην, ἀφεῖσιν Ὀρχομενὸν αὐτόνομον, τίνος 15 ἕνεκα [2]πολεμήσωμεν; ἵνα ἡ πόλις ἡμῖν ἐλευθέρα ᾖ; ἀλλὰ τοῦτό γε αὐτῇ ὑπάρχει. ἀλλ' ὅπως ἡμῖν τείχη γένηται; 96
ἔστι καὶ ταῦτα ἐκ τῆς εἰρήνης. ἀλλ' ἵνα τριήρεις ἐξῇ [5]ναυπηγεῖσθαι καὶ τὰς οὔσας ἐπισκευάζειν καὶ κεκτῆσθαι; καὶ τοῦτο ὑπάρχει· τὰς γὰρ πόλεις αὐτονόμους αἱ συνθῆκαι

[1] Deest τά. [2] πολεμήσομεν [3] γὰρ ἅπαντας
[4] τὸ μηκέτι ἀδικεῖσθαι παρὰ Λακεδαιμονίων [5] ναυπηγῆσαι

Ἐν τῇ στήλῃ] Eo in fœdere, quod cum Lysandro inibatis. IDEM.

Ἐκεῖ μὲν γέγραπται τείχη καθαιρεῖν] Malim: ἐκεῖ μὲν γε [quod idem atque γὰρ hic significabit] γέγραπται, τὰ τείχη καθ. IDEM.

Οἰκοδομεῖν ναῦς] Peccat interpunctio. Sic enim interpungendum: οἰκοδομεῖν. hic desinit sententia: nam subauditur e præmissis, commune τὰ τείχη. tum nova incipit sententia. ναῦς ἐκεῖ μὲν —. IDEM.

Δήπου] F. δήμου. TAYLOR. Num leg. δήμου. ad hunc modum: τὸν δὲ πόλεμον δήμου κατάλυσιν γίνεσθαι. REISK.

Ὁμολογῆσαι διὰ τάδε] Π. ὁμολογήσειν διὰ τ., ἢ, ὁμολογῆσαι ἂν διὰ τ. H. STEPHAN.

Ἀφεῖσιν] Sic dedi de meo, in dativo plurali participii aoristi secundi, pro vulgato ἀφέσειν. REISK.

Ναυπηγῆσαι] Malim ναυπηγεῖσθαι. IDEM.

Καὶ κεκτῆσθαι] Malim hæc duo vocabula prorsus abesse, aut sic legi: καὶ ἄλλας (vel ἄλλας) κεκτῆσθαι. IDEM.

ποιοῦσιν. ἀλλ᾽ ὅπως τὰς νήσους κομισώμεθα, Λῆμνον καὶ Σκῦρον καὶ Ἴμβρον; οὐκοῦν διαῤῥήδην γέγραπται ταύτας Ἀθηναίων εἶναι. φέρε, ἀλλὰ Χερρόνησον καὶ τὰς ἀποικίας καὶ τὰ ἐγκτήματα καὶ τὰ χρέα ἵνα ἀπολάβωμεν; ἀλλ᾽ οὔτε βασιλεὺς οὔτε οἱ σύμμαχοι συγχωροῦσιν ἡμῖν, μεθ᾽ ὧν αὐτὰ δεῖ πολεμοῦντας κτήσασθαι. ἀλλὰ νὴ Δία ἕως ἂν Λακεδαιμονίους καταπολεμήσωμεν καὶ τοὺς συμμάχους αὐτῶν, μέχρι τούτου δεῖ πολεμεῖν; ἀλλ᾽ οὔ μοι δοκεῖ οὕτω παρεσκευάσθαι. ἐὰν δὲ ἄρα κατεργασώμεθα, τί ποτε αὐτοὶ πείσεσθαι δοκοῦμεν ὑπὸ τῶν βαρβάρων, ὅταν ταῦτα πράξωμεν; εἰ τοίνυν περὶ τούτου μὲν ἔδει πολεμεῖν, χρήματα δὲ ὑπῆρχεν ἡμῖν ἱκανὰ, τοῖς δὲ σώμασιν ἦμεν δυνατοὶ, οὐδὲ οὕτως ἔδει πολεμεῖν. εἰ δὲ μήτε διότι μήτε ὅτου σι μήτε ἀφ᾽ ὅτου [1] πολεμήσωμεν ἔστι, πῶς οὐκ ἐκ παντὸς τρόπου τὴν εἰρήνην ποιητέον ἡμῖν;

δ'. Σκέψασθε δὲ, ὦ Ἀθηναῖοι, καὶ τόδε, ὅτι νυνὶ πᾶσι τοῖς Ἕλλησι κοινὴν εἰρήνην καὶ ἐλευθερίαν πράττετε, καὶ μετέχειν ἅπασι πάντων ἐξουσίαν ποιεῖτε. ἐνθυμήθητε οὖν τῶν πόλεων τὰς μεγίστας τίνι τρόπῳ τὸν πόλεμον καταλύονται. πρῶτον μὲν Λακεδαιμονίους, οἵτινες ἀρχόμενοι μὲν ἡμῖν καὶ τοῖς συμμάχοις πολεμεῖν ἦρχον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· νῦν δ᾽ [2] αὐτοῖς ἐκ τῆς εἰρήνης οὐδέτερον τούτων ὑπάρχει. καὶ [3] οὐχ ὑφ᾽ ἡμῶν ἀναγκαζόμενοι ταῦτ᾽ ἀφιᾶσιν, ἀλλ᾽ ἐπ᾽ ἐλευθερίᾳ πάσης τῆς Ἑλλάδος. νενικήκασι γὰρ τρὶς ἤδη μαχόμενοι· τότε μὲν ἐν Κορίνθῳ πάντας πανδημεὶ τοὺς συμμάχους παρόντας, οὐχ ὑπολιπόντες πρόφασιν οὐδεμίαν, ἀλλ᾽ ἐν τῷ κρατιστεύειν μόνοι πάντων

[1] πολεμήσομεν [2] αὗτως [3] Deest οὐχ.

Ἐγκτήματα] Sic de meo dedi, *possessiones in alieno fundo*, pro vetusta lectione vitiosa ἐγκλήματα. IDEM. Jam ante Reiskium emendavit Valckenaerius, suamque conjecturam proposuit ad Herodotum, l. v. c. 23. SLUITER.

Δοκεῖ] Vitium hic subest procul dubio. aut enim δοκεῖ ἡ πόλις leg. est, aut δοκεῖτε, aut δοκοῦμεν. REISK.

Πρῶτον μὲν] Respondet Βοιωτοὶ δὲ p. 313. 9. IDEM.

Νῦν δ᾽ αὗτως] Malim: νῦν δ᾽ αὐτοῖς. IDEM.

Καὶ ὑφ᾽ ἡμῶν] Imo vero καὶ οὐχ ὑφ᾽ ἡμῶν. *neque remittunt ista a nobis coacti.* IDEM.

Τότε μὲν ἐν Κορίνθῳ] Pugnam intelligit, quæ μεγάλη μάχη dicta est, de qua Xenophon lib. iv. c. 2. Hellenic. quæ pugnata est, Diophanto Archonte, Ol. XCVI, 2. PALMER.

Οὐχ ὑπολιπόντες πρόφασιν οὐδεμίαν, ἀλλ᾽ ἐν τῷ κρατιστεύειν μόνοι πάντων] Locum, quem a Reiskio frustra tentatum quasi desperatum equidem reliqueram, facili emendatione expedivit Luzacius. "Vide (inquit), an locus sanatus sit simplici hac mea emendatione: οὐχ ὑπολιπόντες πρόφασιν οὐδεμίαν, ἀλλ᾽ ἢ τὸ κρατιστεύειν μόνοι

αὖθις δὲ Βοιωτούς, ὅτ' αὐτῶν Ἀγησίλαος ἡγεῖτο, τὸν αὐτὸν τρόπον καὶ ὅτε τὴν νίκην ἐποιήσαντο· τρίτον δ' ἡνίκα Λέ- 98
χαιον ἔλαβον, Ἀργείους μὲν ἅπαντας καὶ Κορινθίους, ἡμῶν δὲ καὶ Βοιωτῶν τοὺς παρόντας. τοιαῦτα δ' ἔργα ἐπιδειξά-
μενοι, τὴν εἰρήνην εἰσὶν ἕτοιμοι ποιεῖσθαι, τὴν ἑαυτῶν ἔχοντες, οἳ ἐνίκων μαχόμενοι, καὶ τὰς πόλεις αὐτονόμους εἶναι καὶ τὴν θάλατταν κοινὴν ἐῶντες τοῖς ἡττημένοις. καίτοι ποίας τινὸς ἂν ἐκεῖνοι παρ' ἡμῶν εἰρήνης ἔτυχον, εἰ μίαν [1] μόνον μάχην ἡττήθησαν; Βοιωτοὶ δ' αὖ πῶς τὴν εἰρήνην ποιοῦνται; οἵτινες τὸν μὲν πόλεμον ἐποιήσαντο ἕνεκα
20. 1 Ὀρχομενοῦ, ὡς οὐκ ἐπιτρέψοντες αὐτόνομον εἶναι, νῦν δὲ τε-
θνεώτων μὲν αὐτοῖς ἀνδρῶν τοσούτων τὸ πλῆθος, τῆς δὲ γῆς ἐκ μέρους τινὸς τετμημένης, χρήματα δ' εἰσενηνοχότες πολλὰ καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ὧν στέρονται, πολεμήσαντες δὲ ἔτη τέτταρα, ὅμως Ὀρχομενὸν ἀφέντες αὐτόνομον τὴν εἰρήνην ποιοῦνται καὶ ταῦτα μάτην πεπόνθασιν· ἐξὴν γὰρ
5 αὐτοῖς καὶ τὴν ἀρχὴν ἐῶσιν Ὀρχομενίους αὐτονόμους εἰρήνην ἄγειν. οὗτοι δ' αὖ τούτῳ τῷ τρόπῳ τὸν πόλεμον καταλύονται. 99
ἡμῖν δὲ, ὦ Ἀθηναῖοι, πῶς ἔξεστι τὴν εἰρήνην ποιήσασθαι;

[1] μόνην

(vel μόνους) πάντων. *Primum apud Corinthum omnes omnino socios fœderatosque, qui aderant, universe sic devicerunt, ut nullam iis relinquerent excusationem, nisi solos Lacedæmonios omnibus præstare.*" Sequentia sic fortasse non prorsus inepte scribantur: αἴθις δὲ Βοιωτούς, ὅτ' αὐτῶν Ἀγησίλαος ἡγεῖτο· τὸν αὐτὸν τρόπον δὲ καὶ τότε τὴν νίκην ἐποιήσαντο. Dictionem τὴν νίκην ποιεῖσθαι, qua nonnihil offenditur Reiskius, quamquam aliquanto insolentiorem, loco tamen movendam non arbitror, cum verbum ποιεῖσθαι simili structura et notione sit usitatum. pag. 28. v. 12. τὴν ἀρχὴν ἐποιησάμεθα τῶν ἀγαθῶν. Ita ποιεῖσθαι μάχην est μάχεσθαι· ποιεῖσθαι ἀγῶνα, ἀγωνίζεσθαι· ποιεῖσθαι λόγον, λέγειν· et ποιεῖσθαι δίκην, apud Demosthenem c. Bœot. p. 1018. v. 25. ed. Reisk. Animadvertit porro Valckenaerius: "Ea, quæ hic Andocides narrat de tribus Lacedæmoniorum hoc bello reportatis victoriis, vera esse et gesta tempore florentis Andocidæ; descripta autem a Xenophonte l. iv. p. 402. v. 19. secundam victoriam ad Coroneam, duce Agesilao p. 404. tertiam duce Praxita p. 406." Sluiter.

Ἀλλ' ἐν τῷ] Ἀλλ' videtur aut delendum, aut deesse aliquid. Neutrum si probamus, sic erit accipiendum, ac si dixisset: ἀλλὰ νίκων πάντας τοὺς ἀντιτεταγμένους διὰ τὸ κρατιστεύειν μόνοι πάντων. Reisk.

Αὐτῶν] Redit ad remotius, Lacedæmonios puta, non ad proprius, Bœotos. Idem.

Τὸν αὐτὸν τρόπον καὶ ὅτε τὴν νίκην ἐποιήσαντο] Videtur sic leg. τὸν αὐτὸν τρόπον, [scil. ἐνίκων] ὃν [scil. ἐνίκων] καὶ ὅτε τὴν πρεσβείαν νίκην ἐποιήσαντο. Bœotos eodem modo vincebant, quo tum vicerant, cum priorem victoriam reportassent. Verumtamen offendor nonnihil dictione νίκην ποιεῖσθαι. Idem.

Τοὺς παρόντας] Subaudi ἐνίκων. Prima victoriarum ab Andocide hic commemoratarum videtur illa ad Nemeam fuisse, de qua v. Simsoni Chronicon ad A. M. 3601. p. 801. col. a. secunda ad Coroneam, de qua idem p. 803. de tertia v. idem p. 805. Idem.

